λζ'. Καὶ γὰρ δὴ τῷ μὲ ἰδιώτῃ αὐτὸς τεκμήριόν ἐστιν, ὅταν ὁ ἐρώμενός τι ὑπουργῇ, ὅτι ὡς φιλῶν χαρίζεται, ἀλλὰ δι' εἰδέναι ὅτι σοῦ ἀνάγκης οὔσης ὑπηρετῇ.

λη'. Τῷ δὲ τυράννῳ οὔποτ' ἔστι πιστεῦσαι, ὡς φιλεῖται. ὑπισάμεθα γὰρ αὖ τοὺς διὰ φόβον ὑπηρετοῦντας, ὡς ἥ μάλιστ' ἂν δοκῶσιν ἐκκαίοντες αὐτοὺς τὰς τῶν φιλούντων ὑπουργίας. καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις εἰσὶν, ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς σεσωπισαμένων.

ΚΕΦ. β'.

ΠΡὸς ταῦτα εἶπεν ὁ Σιμωνίδης· ἀλλὰ ταῦτα μὲ πάνυ ἔμοιγε μικρὰ δοκεῖ εἶναι, ἃ σὺ λέγεις. πολλοὺς γὰρ, ἔφη, ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι ἐχόντων μειονεκτοῦντας καὶ σίτων, καὶ ποτοῦ, καὶ ὄψων, καὶ ἀφροδισίων γε ἀπεχομένους.

β'. Ἀλλ' ἐν ἐκείνοις γε πολὺ διαφέρετε τῶν ἰδιωτῶν, ὅτι

37. Nam homini privato mox argumento eſt, quum qui amatur obſequentem ſe præbet, fieri hoc tanquam ab amante gratificandi ſtudio. Scit enim illum id nulla neceſſitate cogente præſtare.

38. Verum tyrannus numquam diligi ſe, credere poteſt. Novimus enim, illos, qui metus cauſſa obſequuntur, quam poſſunt maxime amantium obſequia ſimulare. Itaq; tyrannis inſidiæ ab aliis nullæ tam ſunt frequentes, quam ab iis qui maxime ſe amare ſimulant.

CAP II.

AD ea Simonides: Videntur, inquit, hæc quæ tu profers, admodum exigua eſſe. Nam multos equidem video viros hominum opinione egregios, qui ſua ſponte ſunt aliis inferiores, quod cibos adtinet, quod potum, quod obſonia; atque etiam venereis à voluptatibus abſtinent:

2. Verum in illis multum inter privatos homines ac vos intereſt,

ὅτι μεγάλα μὲν ὑπνοεῖτε, ταχὺ δὲ καπεργάζεσθε· πλοῦτα δὲ τὰ θείοτατ' ἔχετε, κέκτησθε δὲ λαμπρότητας μὲν ἀρετῇ ἵππους, λαμπρότητα δὲ κάλλει ὅπλα, ὑπερέχοντα δὲ κόσμον γυναιξὶ, μεγαλοπρεπεστάτας δ' οἰκίας, καὶ ταύτας κατεσκευασμένας τοῖς πλείστου ἀξίοις· ἔτι δὲ πλήθει καὶ ὑπηκόους θεράποντας ἀείσους κέκτησθε· ἱκανώτατοι δὲ εἰσὶ κακῶσαι μὲν ἐχθροὺς, ὠφελῆσαι δὲ φίλους.

γ'. Πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν· ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀνθρώπων, ὦ Σιμωνίδη, ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος, οὐδέν τι θαυμάζω. μάλα γὰρ ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρᾶν καὶ εὐδαίμονάς τινας εἶναι, καὶ ἀθλίους.

δ'. Ἡ δὲ τυραννὶς τὰ μὲν δοκοῦντα πολλοῦ ἄξια κτήματα εἶναι, ἀνεπιγμένα θεᾶσθαι, φανερὰ πᾶσι παρέχει· τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα, ἔνθα καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἵδρυται.

ε'. Τὸ

tereſt, quod & magnas res animo concipitis, & celeriter conficitis. Habetis & abundantem rerum copiam, equos inſigni virtute, arma pulchritudine eximia, mundum pro uxoribus egregium, ædes magnificentiſſimas, eaſque maximi pretii rebus inſtructas. Sunt item vobis famuli plurimi, & artium cognitione præſtantiſſimi. Poteſtas vobis eſt maxima, tum lædendi hoſtes, tum commodandi amicis.

3. Ad quæ Hiero: Sed enim vulgo mortalium, mi Simonides, à regno perſtringi oculos equidem non miror. Nam vulgus hominum valde mihi videtur ex iis quæ ſub ejus oculos cadunt, opinionem de quorundam felicitate & infelicitate concipere.

4. At regnum eas res quæ maximi eſſe pretii videntur, explicatas palam ſpectandas omnibus exhibet: quæ vero moleſta ſunt, ea regum in animis occulta tenet, in quibus & felicitas & infelicitas hominum ſita eſt.

5. Quam

ε'. Τὸ μὲ οὖν τὸ πλῆθος ὑπὸ τούτων λελῆθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω. τὸ δὲ καὶ ὑμᾶς ταῦτ' ἀγνοεῖν, οἳ ἀφ' ὧν γνώμης δοκεῖτε θεᾶσθαι κάλλιον, ἢ ἀφ' ὧν τὸ ὀφθαλμῶν τὸ πλεῖστα τῶν θεαμάτων, τοῦτό μοι δοκεῖ θαυμαστὸν εἶναι.

ς'. Ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα, ὦ Σιμωνίδη, καὶ λέγω σοι, ὅτι οἱ τύραννοι τῶν μεγίστων ἀγαθῶν ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν πλεῖστα κέκτηνται.

ζ'. Αὐτίκα γάρ, εἰ μὲ εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτεστιν· εἰ δὲ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν.

η'. Εὐθὺς γὰρ τοῖς μὲ ἰδιώταις, ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν ὅποι ἂν βούλωνται πορεύεσθαι, μηδὲν φοβουμένοις μή τις αὐτοὺς ἀποκτείνῃ· οἱ δὲ τύραννοι πάντες πανταχῇ ὡς ἀφ' πολεμίας πορεύονται. αὐτοί τε γοῦν ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι φέρειν, καὶ ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι.

θ'. Ἔπειτα

5. Quamobrem hæc multitudinem latere non miror, ut dixi: sed vobis quoque ignota esse, qui animi judicio maxima ex parte res pulchrius contemplari videmini, quam oculis, mihi quidem mirum est.

6. Ego vero experiundo plane cognovi, mi Simonides, ac tibi dico, reges maximorum bonorum minime participes fieri, & gravissimorum malorum insignem habere copiam.

7. Protinus enim, si pax magnum hominibus esse bonum videtur, quamminimum ejus participes sunt reges: si bellum ingens est malum, maxima ejus pars ad reges pertinet.

8. Primum hominibus privatis, si non ipsorum civitas bellum publicum suscipiat, quocumque lubet, abire licet, nihil metuentibus, ne quis eis vitam adimat. Reges vero universi ubique tamquam per hostium fines proficiscuntur. Itaque necessarium putant, ut & ipsi armati sint, & armatos semper secum circumducant.

θ'. Επειτα δὲ οἱ μὲ ἰδιῶται, ἐὰν καὶ στρατεύωνταί πε εἰς πολεμίαν, ἀλλ' οὖν ἐπειδάν γε ἔλθωσιν οἴκαδε, ἀσφάλεσθαι σφίσιν ἡγοῦνται εἶναι. οἱ δὲ τύραννοι ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε καὶ πλείστοις πολεμίοις ἴσασιν ὄντες.

ι'. Εἰ δὲ δὴ καὶ ἄλλοι στρατεύωσιν εἰς τὴν πόλιν χρείττονες, ἐὰν ἔξω γε τείχους τύχωσιν ὄντες οἱ ἥκοντες, καὶ κινδυνώδη δοκοῦσιν εἶναι· ἀλλ' ἐπειδάν γε εἴσω γε ἐρύματος ἔλθωσιν, καὶ ἀσφαλείᾳ πάντες νομίζουσι κεχηνέναι. ὁ δὲ τύραννος ἀλλ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ, καὶ ἀκινδύνως ἔχει, ἀλλ' καὶ τότε δὴ καὶ μάλιστα φυλακτέον οἴεται εἶναι.

ια'. Επειτα τοῖς μὲ ἰδιώταις καὶ ἀπὸ ποιῶν καὶ δι' εἰρήνης γίγνεται πολέμου ἀνάπαυσις· τοῖς δὲ τυράννοις ἔστι εἰρήνη ποτὲ πρὸς τοὺς τυραννουμένους γίγνεται, ἔστι ποιοῦσι ἄν ποτε πιστεύσας ὁ τύραννος θαῤῥήσαι.

ιβ'. Καὶ πόλεμοι μὲ δὴ εἰσιν, ὅς τε αἱ πόλεις πολεμοῦσι, καὶ

9. Deinde privati homines, licet hoſtilem in agrum militatum abeant, nihilominus ubi domum redierunt; eſſe tutos ſeſe arbitrantur. At tyranni poſteaquam ad civitatem ſuam pervenerint, inter hoſtes ſe plurimos eſſe ſciunt.

10. Quod ſi qui potentiores adverſus urbem aliquam expeditionem ſuſcipiant, ac minus potentes forte extra mœnia fuerint; eſſe quidem illi videntur in periculo, verum poſteaquam intra munitionem ſeſe receperint, omnes in tuto ſe eſſe credunt. Tyrannus autem ne tum quidem, quum domum ingreſſus fuerit, expers eſt periculi; omninoque iſtic maxime ſibi cavendum arbitratur.

11. Præterea privati homines, per fœdera & pacem, belli moleſtia liberantur; regibus vero neque pax ab iis quos regunt, conceditur, neque quiſquam tyrannus confidenter fœderibus habere fidem auſit.

12. Sunt item bella, quæ à civitatibus, & alia, quæ à regibus adverſus

ὑ ὃς ὁ τύραννοι πρὸς τοὺς βεβιασμένους. τούτων δὴ τῶ πολέμων ὅσα μὲ ἔχῃ χαλεπὰ ὁ σωθὲν τῆς πόλεσι ταῦτα ὑ ὁ τύραννος ἔχῃ.

ιγ'. Καὶ γὰ ὁ ὅπλοις δεῖ εἶ) ἀμφοτέρους, καὶ φυλάττεσθαι, καὶ κινδυνεύειν, ὑ, ἄν τι πάθωσι κακὸν ἡττηθέντες, λυποῦνται ὅτι τούτοις ἑκάτεροι.

ιδ'. Μέχει μὲ δὴ τούτου ἴσοι οἱ πόλεμοι. ἃ δ' ἔχουσιν ἡδέα οἱ σωθέντες τῆς πόλεσι πρὸς τὰς πόλεις, ταῦτα οὐκέτ ἔχουσιν οἱ τύραννοι.

ιε'. Αἱ μὲ γὰ πόλεις δήπου, ὅταν κρατήσωσι μάχῃ τῶν ἀντίων, ὑ ῥᾴδιον εἰπεῖν, ὅσῳ μὲ ἡδονῇ ἔχουσιν ὑ τῷ τρέψασθαι τοὺς πολεμίους, ὅσῳ δ' ὑ τῷ διώκειν, ὅσῳ δ' ὑ τῷ ἀποκτείνειν τοὺς πολεμίους· ὡς δὲ γαυροῦνται ὅτι τῷ ἔργῳ, ὡς δὲ δόξαν λαμπρὰν ἀναλαμβάνουσι, ὡς δ' εὐφραίνονται τὴ πόλιν νομίζοντες αὐξηκέναι.

ιϛ'. Ἑκάστῳ δέ πις προσποιεῖται καὶ τῆς βουλῆς μετεχηκέναι, καὶ πλείστους ἀπεκτονέναι. χαλεπὸν δὲ εὑρεῖν,

adversus illos quos vi oppresserunt, geruntur: At ex his bellis quæcumque gravia molestaque redeunt ad eum qui civitatum partes sequitur, ea cadunt etiam in tyrannum.

13. Nam utrosque necesse est in armis esse, cavere sibi, adire pericula, & si quid calamitatis victis accidat, utrique dolent.

14. Atque hactenus paria sunt utriusque bella. Quæ vero illis jucunda accidunt, qui civitatum stant à partibus, apud civitates, ea tyranni non habent.

15. Etenim urbes, quum adversarios pugna vincunt, dici facile non potest, quantum voluptatis ex eo percipiant, quod in fugam hostes egerint: quantum in persequendo, quantum in occidendis hostibus: quam ob ipsum facinus exsultent, quam insignem gloriam sibi vindicent, quam propterea gaudent, quod rempublicam amplificasse se existimant.

16. Arrogat quisque sibi, quod & consilii particeps fuit, & plurimos interfecerit. Ac difficulter

εὑρεῖν, ὅπου ὄχι καὶ ὅπου ψεύδονται, πλέονας φάσκοντες ἀπεκτονέναι, ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν. οὕτω καλόν τι αὐτοῖς δοκεῖ εἶναι τὸ πόλιν νικᾶν.

ιζ'. Ὁ δὲ τύραννος, ὅταν ὑποπτεύσῃ, ἢ ἀληθανόμενος τῷ ὄντι ἀνηρεθημένους τινὰς ἀποκτείνῃ, οἶδεν ὅτι οὐκ αὔξει ὅλως τὴν πόλιν, ἐπίσταταί τε ὅτι μειόνων ἄρξει, φαιδρός τε οὐ λύεται τῇ ψυχῇ, οὐδὲ μεγαλύνεται ἐπὶ τῷ ἔργῳ· ἀλλὰ καὶ μειοῖ καθ' ὅσον ἂν λύῃ τὸ γεγενημένον, καὶ ἀπολογεῖται ἅμα ποιῶν, ὡς οὐκ ἀδίκων πεποίηκεν. ὥστε οὐδ' αὐτῷ δοκεῖ καλὰ τὰ ποιήματα εἶναι.

ιη'. Καὶ ὅταν ἀποθάνωσιν οὓς ἐφοβήθη, οὐδέν τι μᾶλλον τούτου θαρρεῖ, ἀλλὰ φυλάττεται ἔτι μᾶλλον, ἢ τὸ πρόσθεν. καὶ πόλεμον μὲν δὴ τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ δῆλος.

ΚΕΦ.

invenias, ubi non etiam falso quædam addant; quum plures se interemisse prædicant, quam reipsa ceciderint. Adeo res ipsis esse præclara videtur, civitatem victoria potiri.

17. Tyrannus autem, quum vel propter suspiciones suas, vel quod revera quosdam adversus se moliri quid deprehenderit, nonnullos interficit; totam se urbem non amplificaturum novit, & scit etiam paucioribus se imperaturum, neque potest esse hilaris, neque se magnifice ob facinus ipsum effert. Immo quantum potest, extenuat rem gestam, & inter agendum purgat sese, quasi non per injuriam id fecerit. Usque adeo ne ipsi quidem honesta, quæ facit, esse videntur.

18. Quod si etiam moriantur ii, quos metuit, nihilo magis fidenti est animo; sed plus etiam sibi, quam prius, cavet. Atque hoc modo tyrannus bello perpetuo vexatur, ut indicavi.

CAP.

ΚΕΦ. γ'.

Φιλίας δ' αὖ καταθέασαι τῆς κοινωνοῦσιν οἱ τύραννοι. πρῶτον μέν, εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμεθα.

β'. Ος γὰρ ἂν φιλῆται ὑπού τινων, ἡδέως μὲν τοῦτον οἱ φιλοῦντες παρόντα ὁρῶσιν, ἡδέως δ' εὖ ποιοῦσι, ποθοῦσι δὲ ἄν που ἀπῇ, ἥδιστα δὲ πάλιν ἀφικόμενον δέχονται, συνήδονται δ' ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς, συνεπιχαίρουσι δέ, ἐάν τι σφαλλόμενον ὁρῶσιν.

γ'. Οὐ μὴν λέληθεν οὐδὲ τὰς πόλεις, ὅτι ἡ φιλία μέγιστον ἀγαθὸν καὶ ἥδιστον ἀνθρώποις ἐστί. μόνας γοῦν τὰς μοιχὰς νομίζουσι πολλαὶ τῶν πόλεων ἐπιτρεπτὰ ἀποκτείνειν, δηλονότι ἀφ' ἁπάντων τούτων, ὅτι λυμαντῆρας αὐτὰς νομίζουσι τῶν γυναικῶν φιλίας τοὺς ἄνδρας εἶναι.

δ'. Ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφορά τινα γυνὴ,

CAP. III.

JAm mihi velim etiam amicitias, quarum tyranni participes sunt, inspicias. Primum, an magnum amicitia bonum sit hominibus, consideremus.

2. Nam si quis ab aliquibus diligatur, eum adesse sibi lubenter vident ii qui diligunt: lubenter eidem benefaciunt, absentem desiderant, redeuntem jucundissime excipiunt, voluptatem ex rebus ipsius prosperis communem percipiunt, opem una ferunt, si quid adversi accidere videant.

3. Nec ignorant urbes, amicitiam maximum suavissimumque bonum hominibus esse. Itaque plerisque in urbibus ea lex valet, ut solos adulteros occidere liceat impune: nimirum propterea, quod eos uxorum erga maritos amicitiæ corruptores esse existiment.

4. Nam quum mulieres casu quodam congressu venereo sunt usæ,

γωὴ, οὐδὲν ἧττον τούτου ἕνεκεν τιμῶσιν αὐτὰς ὦ ἄνδρες, ἐὰν ᾖ ἡ φιλία δοκῇ αὐτοῖς ἀκήρατος διαμένειν.

ε'. Τοσοῦτον δὲ τ' ἀγαθὸν κρίνω ἔγωγε τὸ [φιλεῖσθαι] εἶναι, ὥστε νομίζω διὰ ὅτι αὐτόματα ἀγαθὰ διὰ φιλεῖσθαι γίγνεσθαι ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων.

ς'. Καὶ τούτου τοίνυν ἕνεκα τοιοῦτον ὄντος μειονεκτοῦσιν οἱ τύραννοι πάντων μάλιστα. εἰ δὲ βούλει, ὦ Σιμωνίδη, εἰδέναι ὅτι ἀληθῆ λέγω, ὧδε σκόπει.

ζ'. Βεβαιότατα μὲν δὴ ὅτου δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας, καὶ παιὶ πρὸς γονέας, καὶ ἀδελφοῖς πρὸς ἀδελφούς, καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους.

η'. Εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας, πολλοὺς δὲ ὑπὸ πατέρων ἀπολωλότας, πολλοὺς δὲ ἀδελφοὺς ὑπὸ τυράννοις ἀλληλοφόνους γεγενημένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους καὶ

usæ, nihilominus id quod adtinet, apud maritos in honore sunt, si quidem amicitia inter ipsos inviolata constare putetur.

5. Tantum autem bonum esse judico [amari], ut existimem, ei qui diligitur, tum à Diis tum ab hominibus ultro bona quædam contingere.

6. Atque in hac tali possessione deterior imprimis est regum quam aliorum conditio. Quod si, mi Simonides, scire vis, num vera loquar, sic rem considerato.

7. Firmissimæ videntur esse amicitiæ parentum erga liberos, liberum erga parentes, fratrum erga fratres, uxorum erga maritos, sodalium erga sodales.

8. Quod si ergo rem animadvertere voles, invenies privatos homines ab his maxime diligi: quum interim complures tyranni liberos suos occiderint, complures suis à liberis interfecti sint, multi fratres in usurpatione tyrannidum mutuis se cædibus confecerint, multi denique tyranni tum ab uxoribus suis, tum

καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι.

θ'. Οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖσθαι καὶ νόμῳ συνωκειωμένων ὕτω μισοῦνται, πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι;

ΚΕΦ. δ'.

Ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μετόχεστι; ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τοῖς ἀλλήλοις; ποία δ' ἂν ἀνδρὶ καὶ γυναικὶ τέρπνη ἄνευ πίστεως ὁμιλία; ποῖος δὲ θεράπων ἡδὺς ἀπιστούμενος;

β'. Καὶ τούτου τοίνυν, ὅστις πιστῶς τοῖς τινας ἔχει, ἐλάχιστον μέτεστι τυράννῳ· ὁπότε γε οὔτε σιτίοις κρατίστοις οὔτε πότοις πιστεύων ἥδεται, ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς ἥδιστους τῶν οἰκετῶν κελεύουσιν ἀπο-

tum ſodalibus qui amiciſſimi viderentur, interemti ſint.

9. Qui ergo apud illos, quos ut maxime diligamus, à natura comparatum eſt, ſimul legibus etiam ad hoc nos compellentibus, tanto ſunt in odio: quo pacto exiſtimandum eſt, eos ab alio quopiam diligi?

CAP. IV.

PRæterea cui quamminimum fidei habetur, qui non magno in bono ceteris inferior eſt? Nam quæ tamdem familiaritas abſque fide mutua jucunda fuerit? quæ inter virum ac feminam abſque fide conſuetudo delectationem habere poteſt? quis miniſter gratus fuerit, ſi fides ei non habeatur?

2. Itaque hoc etiam, nimirum ut fidem quis aliis habeat, parum admodum ad tyrannum pertinet; quando ſic vivit, ut neque præſtantiſſimis cibis, neque potui fidem habere poſſit; ſed primum famulos deguſtare hos jubet antequam Diis primitiæ offerantur, idque propter diffi-

ἀπογεύεσθαι, ἀφ' ὧ τὸ ἀπιστεῖν μὴ ἔχ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν.

γ'. Ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις πλείστην ἄξιαι. πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἕνεκα τοὺς δούλους, δορυφοροῦσι δ' ἕνεκα τοὺς κακούργους, ὥσπερ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν.

δ'. Οὕτω δὲ πόρρω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον τῷ μιαιφόνῳ μηδὲ τὸ σιτίον καθαρεύειν· ὥστε ἀφ' ὧν τὰς πατρίδας ἀσφαλῶς ἕκαστοι βιοτεύει τῶν πολιτῶν.

ε'. Τοῖς δὲ τυράννοις ἔχ τοῦτο ἔμπαλιν ἀντέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν αἱ πόλεις αὐτοῖς μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τύραννον· καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱδρύσαντο αἱ πόλεις τὸν τοιοῦτο ποιησάντων.

ς'. Εἰ

diffidentiam, ne forte vel in his mali aliquid aut comedat, aut bibat.

3. Quinetiam patria ſua cuique reliquorum hominum maximo eſt in pretio. Nam cives mutuo ſe quaſi ſatellitio quodam ſine ſtipendio adverſus ſervos tuentur, itemque adverſus facinoroſos, ut ne quis civium morte violenta à medio tollatur.

4. Atque hac in cuſtodia mutua cive. eo ſunt progreſſi, ut à multis lata lex ſit; qua ſancitur, ut ne his quidem purus habeatur, qui cum homicida verſetur. Quo fit, ut beneficio patriæ ſuæ quiſque civium tuto vivat.

5. At in tyrannis contraria ratio eſt. Tantum enim abeſt ut horum mortem civitates ulciſcantur, ut etiam magnis honoribus eum adficiant, qui tyrannum interfecerit. Tantum item abeſt ut à ſacris eos arceant, quemadmodum ſolent interfectores privatorum hominum: ut etiam imagines tale quid deſignantium in templis ſtatuant.

6. Quod

ς'. Εἰ δὲ σὺ οἴει, ὡς πλείω ἔχων ἰδιωτῶν κτήματα ὁ τύραννος, μᾶλλον τοῦτο καὶ πλείω ἀπ' αὐτῶν εὐφραίνεται, οὐδὲ τοῦτο ὅπως ἔχει, ὦ Σιμωνίδη, ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ' ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτο αὐτοὺς εὐφραίνει, ἀλλ' ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ· οὕτω καὶ ὁ τύραννος, οὐχ ὅταν τῶν ἰδιωτῶν πλείω φαίνηται ἔχων, τότ' εὐφραίνεται, ἀλλ' ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λυπεῖται. τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται περὶ τοῦ πλούτου εἶναι.

ζ'. Οὐδέ γε θᾶττόν τι γίγνεται τῷ τυράννῳ, ἢ τῷ ἰδιώτῃ, ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης οἰκίας, ἢ ἀγροῦ, ἢ οἰκέτου ἐπιθυμεῖ· ὁ δὲ τύραννος, ἢ πόλεων, ἢ χώρας πολλῆς, ἢ λιμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν· ἃ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικινδυνώτερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων.

η'. Ἀλλὰ μέντοι καὶ πένητας ὄψει οὐχ ὅτως ὀλίγους τῶν ἰδιωτῶν,

6. Quod si tu tyrannum existimas, propterea quod fortunas, quam privati homines, ampliores habeat, etiam majorem ex iis voluptatem percipere; ne id quidem ita se habet, mi Simonides; sed quemadmodum athletæ non quum imperitos superant, lætantur; sed ubi ab adversariis superantur, tum scilicet ingenti molestia adficiuntur: sic & tyrannus non quum plura possidere videtur, quam privati homines, gaudet; sed magnum ex eo dolorem percipit, si minus quam tyranni ceteri, habet. Nam hos in opibus adversarios suos esse statuit.

7. Neque citius tyranno, quod concupiscit, obtingit; quam homini privato. Homo enim privatus vel domum, vel fundum, vel servum adpetit: tyrannus autem vel oppida, vel regionem amplam, vel portus, vel munitas arces: quæ quidem majori cum difficultate ac periculo adquiruntur, quam quæ privati homines concupiscunt.

8. Quinetiam non tam paucos, inter homines privatos, pauperes

ἰδιωτῶν, ὡς πολὺς τ̃ τυράννων. ὁ γὰρ τῷ ἀριθμῷ ὅτε τὰ πολλὰ κρίνεται, ὅτε τὰ ἱκανὰ, ἀλλὰ πρὸς τὰς χρήσεις· ὥστε τὰ μὲ ὑπερβάλλοντα τὰ ἱκανὰ πολλά ἐστι, τὰ δὲ τ̃ ἱκανῶν ἐλλείποντα, ὀλίγα.

θ'. Τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἥσσον ἱκανά ἐστιν εἰς τὰ ἀναλώμα δαπανήματα, ἢ τῷ ἰδιώτῃ· τοῖς μὲ γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας σωτέμνειν εἰς τὰ καθ' ἡμέραν, ὅπη βούλονται· τοῖς δὲ τυράννοις οὐκ ἐνδέχε). αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι ὑ ἀναλωμόταται εἰς τὰς τ̃ ψυχῆς φυλακάς εἰσι. τὸ δὲ τούτων σωτέμνειν, ὄλεθρος δοκεῖ εἶ).

ι'. Ἔπειτα δὲ ὅσοι μὲ δυνάνται ἔχειν ἀπὸ τ̃ δικαίων, ὅσων δέονται, τί τούτους οἰκτείρει τις ὡς πένητας; ὅσοι δ' ἀναλίσκουσι δι' ἔνδειαν κακόν τι ὑ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς ὑ τούτους ἀθλίους ἄν τις, ὑ πένητας δικαίως νομίζοι.

ια'. Οἱ τύραννοι τοίνυν ἀναλίσκου) πλέω συλᾶν ἀδίκως ὑ

videbis, quam multos, inter tyrannos. Quippe numero nec ea quæ multa ſunt, nec quæ ſufficiunt, æſtimantur; ſed ex uſu. Quo fit, ut quæ ſuperant ultra id quod ſatis eſt, multa ſint: quæ vero ſunt infra id quod ſufficit, pauca.

9. Tyranno igitur multis partibus plura minus ad neceſſarios ſumtus ſufficiunt, quam homini privato. Nam privatis licet præcidere ſumtus quotidianos, ex animi arbitratu: quod in tyranno locum non habet. Etenim maximos ſumtus, eoſque ſumme neceſſarios in excubias vitæ faciunt, de quibus ſi quid decidatur, id cum ipſorum exitio conjunctum eſſe videtur.

10. Deinde quicumque habere juſta ratione poſſunt quantum requirunt, cur eos quis miſeretur ut inopes? at qui ob egeſtatem malum ac turpe quid excogitare, de quo vivant, coguntur: cur non illos & miſeros, & pauperes eſſe, merito quis exiſtimet?

11. At enim tyranni plurimis rebus per injuriam, tum fana,

καὶ ἱερὰ, καὶ ἀνθρώπους, ἀφ' ὧν τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ πορίζεσθαι χρημάτων· ὥσπερ καὶ πολέμου ὄντος ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν, ἢ ἀπολωλέναι.

ΚΕΦ. ε'.

ΧΑλεπὸν δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν τοὺς κοσμίους γε καὶ σοφοὺς καὶ δικαίους, τούτοις δ' ἀντὶ μὲν ἄγαθοι, φοβοῦνται· τοὺς μὲν ἀνδρείους, μή ποτε τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν· τοὺς δὲ σοφοὺς, μήποτε μηχανήσωνται· τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν πολιτεύεσθαι.

β'. Ὅταν δὲ τοὺς τοιούτους ἀφ' ἑαυτῶν φόβον ὑπεξαίρωνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ' ἢ οἱ ἄδικοί τε, καὶ ἀκρατεῖς, καὶ ἀνδραποδώδεις; οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται, ὥσπερ οἱ τύραννοι, τὰς πόλεις,

fana, tum homines ſpoliare coguntur; propterea quod ipſis ad ſumtus neceſſarios ſemper pecuniis opus ſit. Etenim perinde ac ſi bellum geratur, vel copias ſemper alant vel intereant, neceſſe eſt.

CAP. V.

EXponam vero tibi, mi Simonides, etiam aliam quamdam regum ſane gravem calamitatem. Etenim non minus norunt quam privati homines, quinam egregii viri ſint, & ſapientes, & juſti: ſed quum eos ſuſpicere deberent, metuunt; fortes quidem, ne quid libertatis cauſſa audeant; ſapientes, ne quid artificioſe moliantur; juſtos, ne plebs eos ſibi præeſſe cupiat.

2. Quum vero hujuſmodi homines è medio propter metum ſuſtulerint, quinam alii ſunt ipſis reliqui, quorum ſcilicet uti opera poſſunt, quam injuſti, intemperantes, ſerviles? Injuſti, quod his fides habeatur, utpote qui metuunt æque, ac tyranni, ne

πόλεις, μήποτε ἐλεύθεραι γενόμεναι, ἐγκρατεῖς αὐτῶν γένωνται· οἱ δ' ἀκρατεῖς, διὰ τὸ παρὰ ἐξουσίας ἔνεκα· οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι.

γ'. Χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι.

δ'. Ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι. ἄνευ γὰρ τῆς πόλεως οὔτ' ἂν σώζεσθαι δύναιτο, οὔτ' εὐδαιμονοίη. ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ τοῖς ἑαυτῶν πατρίσιν ἐπιβουλεύειν. οὔτε γὰρ ἀλυπίους, εἴτ' εὐόπλους χαίρουσι τοὺς πολίτας καθιστάντες, ἀλλὰ τοὺς ξένους δυνατωτέρους τῶν πολιτῶν ποιοῦντες ἥδονται μᾶλλον, καὶ τούτοις χρῶνται δορυφόροις.

ε'. Ἀλλὰ μὴν ὅταν εὐετηρίων γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, τότε συγχαίρει ὁ τύραννος. ἐνδεεστέροις γὰρ οἴεται ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι.

ΚΕΦ.

ad libertatem urbes adspirent, ac ipsos suam in potestatem redigant: intemperantes, ob præsentem potestatem: serviles, quod ne ipsi quidem liberi esse cupiant.

3. Quapropter equidem arbitror, hanc etiam calamitatem gravem esse, quod alios quidem viros bonos esse ducant, aliis vero uti cogantur.

4. Præterea necesse est, etiam tyrannum civitatis suæ studiosum esse, quippe qui absque civitate neque salvus esse possit, neque beatus. At cogit eadem tyrannis quosdam, ut patriam quoque suam culpa gravent. Nec enim cives suos fortes efficere, nec armis instruere gaudent: sed magis ipsis volupe est, exterorum potentiam supra cives amplificare, atque his satellitum loco utuntur.

5. Quinetiam quum proventus annonæ benignior omnium bonorum ubertatem adfert, ne tum quidem tyrannus communem cum ceteris voluptatem percipit. Existimat enim, suos in rerum inopia humilioribus animis futuros.

CAP.

ΚΕΦ. ϛ'.

Βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, καὶ ἐκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσας ἐγὼ χρώμενος ὅτ' ἰδιώτης, νῦν, ὅτε τύραννος ἐγενόμην, ἀπολαύομαι τρόπου αὐτῆς.

β'. Ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις ἐμοί, συνῆν δὲ ἑμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι. Λιῆγον δ' ἐν συμποσίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴτι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἐστί, πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε, καὶ θαλίαις, καὶ χορῆς τὴν ψυχὴν συγκαταμιγνῦναι, πολλάκις δὲ μέχρι κοινῆς ἐπιθυμίας ἐμοῦ τε καὶ τῶν παρόντων.

γ'. Νῦν δὲ ἀπορέρημαι μὲν τῶν ἡδομένων ἐμοί, ἀφ' ὧν δούλοις ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους. ἀπορέρημαι δ' αὖ τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν, ἀφ' ὧν μηδεμίαν ἐποιεῖτο

CAP. VI.

VOlo autem tibi, mi Simonides, etiam illas voluptates exponere, quibuscumque, dum privatus adhuc essem, utebar: spoliatus eis, uti quidem animadverto, posteaquam regnum adeptus sum.

2. Versabar cum æqualibus, quorum ego consuetudine delectabar, sicut & illi mea: versabar & mecum solo, si quando quietem expeterem. Aderam sæpenumero conviviis eo usque, dum omnium oblivisceret, quæ hominum in vita molesta eveniunt: sæpenumero dum cantilenis, hilaritatibus, choreis animum commiscerem: sæpenumero quamdiu tum mihi tum iis qui aderant, collubitum fuisset.

3. Nunc vero spoliatus iis sum, quæ mihi jucunda erant; idque propterea, quod amicorum loco, servorum sodalitio utar: sum item spoliatus dulci eorum consuetudine, propterea quod nullam in eis amplius

εὐεργῶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν, μᾶλλον δὲ καὶ ὕπνον ὁμοίως εὐέδρα φυλάττομαι.

δ'. Τὸ δὲ φοβεῖσθαι μὴ ὄχλου, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάττοντας, καὶ μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ αὐτὸν, μήθ' ὡπλισμένους ἡδέως ὁρᾶσθαι, πῶς οὐκ ἀργαλέον δοκεῖ πρᾶγμα;

ε'. Ἔτι δὲ ξένοις μᾶλλον μὴ ἢ πολίταις πιστεύειν, βαρβάροις τε μᾶλλον ἢ Ἕλλησιν, ὀφθυμεῖν δὲ τοὺς μὴ ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους, ἃ πάντά σοι ταῦτα δοκεῖ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια εἶναι;

ς'. Ὁ γέ τοι φόβος ἃ μόνον αὐτὸς ἐν ταῖς ψυχαῖς λυπηρός ἐστιν· ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν λυμεὼν γίγνεται.

ζ'. Εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ, ὦ Σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλήσιον ἀντετάξω, ἀναμνή-

amplius erga me benevolentiam perſpiciam. Ebrietatem ac ſomnum non aliter atque inſidias vito.

4. Jam quod hominum turbam metuo, quod à contrario ſolitudinem; quod cuſtodum abſentiam, quod ipſos etiam cuſtodes; quod neque inermes eos circum me habere volo, neque armatos lubenter adſpicio; quo pacto non res eſt ærumnoſa?

5. Præterea plus exteris habere fidei, quam civibus; barbaris, quam Græcis; cupere ingenuis hominibus ut ſervis uti, contraque cogi ad concedendam ſervis libertatem; hæc omnia non tibi eſſe videntur indicia perculſi à terroribus animi?

6. Neque ſolum metus ipſe in animis moleſtiam doloremque creat, ſed etiam exiſtit voluptatum omnium quoddam exitium, dum me comitatur.

7. Quod ſi tu quoque, Simonides, res bellicas expertus es, atque aliquando adverſus hoſtilem phalangem in acie conſtitiſti: quan-

ἀναμνήσθητι ποῖον μέν τινα σῖτον ἡδὺ ἐν ἐκείνῳ τῷ χρόνῳ, ποῖον δέ τινα ὕπνον ἐκοιμῶ.

η'. Οἷα μέντοι σοι τότ' ἦν τὰ λυπηρά, τοιαῦτ' ἴσθι τὰ τῶν τυράννων, καὶ ἔτι δεινότερα. ὑπ' αὐτῶν γὰρ οὐ παρὰ τῶν ἐναντίας μόνον ἀλλὰ καὶ πάντοθεν πολεμίους ὁρᾶν νομίζουσιν οἱ τύραννοι.

θ'. Ταῦτα δ' ἀκούσας ὁ Σιμωνίδης, ἐπῃνεσε μὲν εἰπών· ἔοικέ μοι δοκεῖς ἕνια λέγειν. ὁ μὲν γὰρ πόλεμος φοβερὸν μέν· ἀλλ' ὅμως, ὦ Ἱέρων, ἡμεῖς τε ὅταν ὦμεν ἐν στρατιᾷ, φύλακας καθιστάμενοι, μαρτάλεως δεῖπνόν τε καὶ ὕπνον τυγχάνομεν.

ι'. Καὶ ὁ Ἱέρων ἔφη· ναὶ μὰ Δία, ὦ Σιμωνίδη· αὐτοῖς μὲν γὰρ παρεφυλάττουσιν οἱ νόμοι, ὥστε παρὰ ἑαυτοῖς φοβοῦνται, καὶ ὑπὲρ ὑμῶν. οἱ δὲ τύραννοι μισθοῦ φύλακας ἔχουσιν, ὥσπερ θεριστάς.

ια'. Καὶ δεῖ μὲ δῆπου τοὺς φύλακας μηδὲν ἧττον ποιεῖν δύνασθαι, ὡς πιστοὺς εἶναι· πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν, ἢ πάνυ πολλοὺς ἐργάτας ὁποίῳ βούλει ἔργῳ, ἄλλως

quantum id temporis cibi ſumſeris, recordare, qualique ſomno ſis uſus.

8. Nimirum quales tum moleſtias experiebaris, tales tyranni experiuntur, atque etiam graviores. Non enim hoſtes ſolum ex adverſo, ſed omni ex parte videre ſe putant.

9. Quæ quum Simonides audiviſſet: Videris, inquit, mihi quædam nimium bene dicere. Bellum enim terribile quidem illud eſt, ſed tamen nos quum militamus, Hiero, excubiis ante caſtra collocatis, ſecure tum cœnamus tum dormimus.

10. Et Hiero: Ita eſt profecto, inquit: Nimirum leges ante illos ipſos excubant, quo fit ut & ſuo & veſtro nomine in metu ſint. Et tyranni cuſtodes habent ſtipendio conductos, perinde ac meſſores.

11. Et requiritur ſane potiſſimum ab illis cuſtodibus fides, verum fidelem unũ cuſtodem multo difficilius inveneris, quam multos admodum operarios, quodvis tandem opus exerceant: præſertim

ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα πάντων ⓐ φυλάσσοντες, ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πολὺ πλείω λαβεῖν ἀποκτείναντι τὸν τύραννον, ἢ ὅσα πολλῷ χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνωσι.

12. Ὁ δ' ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιοῦντες διατελοῦμεν, τοὺς δ' ἐχθροὺς πάντων μάλιστα χαίρομεν, σοὶ δὲ τοῦτ' ὅπως ἔχει.

13. Φίλους μὲν γὰρ πῶς ἂν νομίσειας ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ' ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο; ὃ, τι γὰρ ἄν τις λάβῃ παρὰ τοῦ τυράννου, οὐδεὶς οὐδὲν αὐτοῦ νομίζει, πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται.

14. Ἐχθροὺς δ' αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰδῶσιν ὅτι ἐχθροὶ αὐτῷ εἰσι πάντες οἱ τυραννούμενοι; τούτους δὲ μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε.

★ ἢ

sertim si custodes, quos diximus, pecuniæ causſa adsint, atque liceat eis, interfecto tyranno, multo majorem pecuniæ vim exiguo tempore consequi, quã, diu pro tyranno excubantes, ab eo accipiant.

12. Jam quod felices nos prædicasti, ut qui amicos maxime beneficiis adficere possimus, & hostes facillime nostram in potestatem redigere, ne id quidem ita comparatum est.

13. Nam quo pacto existimare possis umquam de amicis bene te promeriturum, si plane noris, eum qui accipit ab te plurima lubentissime tuo ex conspectu abire quamprimum cupere? Quidquid enim abs tyranno quis accipit, ejus nihil esse suum arbitratur, prius quam ex illius potestate evaserit.

14. Et quo pacto dicere possis, tyrannis facultatem imprimis non deesse, redigendi hostes in potestatem suam, quum certo sciant, omnes illos se hostes habere, qui eorum imperio subjecti sint? At illos omnes neque occidere, neque vinculis constringere possunt.

Nam

* ἢ πίνων γὰρ ἔπ ἄρξει; Ἀλλ' εἰδότα, ὅπ ἐχθροί εἰσι, τούτους ἅμα μὲ φυλάτεσθαί τε δεῖ, καὶ χρῆσθαι δ' αὐτοῖς ἀναγκάζεσθαι.

ιε'. Εὖ δ' ἴσθι καὶ τοῦτο, ὦ Σιμωνίδη, ὅπ καὶ ὑπὸ τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲ αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ' ἀποκτείνυσιν.

ις'. Ὥσπερ γὰρ καὶ ἵππος, εἰ ἀγαθὸς μὲ εἴη, φοβερὸς δὲ μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτείναι, ἀφὶ τὴν ἀρετὴν, χαλεπῶς δὲ ζῶντι χρῶτο, εὐλαβούμενος μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται.

ιζ'. Καὶ τἄλλά γε κτήματα, ὅσα χαλεπὰ μὲ, χρήσιμα δ' ἐστὶν, ὁμοίως ἅπαντα λυπεῖ μὲν τοὺς κεκτημένους, λυπεῖ δὲ ἀπαλλασσομένους.

ΚΕΦ.

Nam in quos tandem imperium esset? Nimirum necesse est, eum, non ignorantem, se illos hostes habere, simul & cavere sibi ab eis, & opera tamen ipsorum uti.

15. Hoc quoque scire debes, mi Simonides, à tyrannis etiam illos cives, quos metuant, magna cum molestia vivos adspici, neque cum minore occidi.

16. Perinde atque equum, qui bonus quidem ille sit, metuatur autem, ne quod immedicabile det malum, haud facile quis ob virtutem interficit, nec facile eo vivo utitur; dum cavet, ne in periculis malum insanabile sibi creet.

17. Itidem res aliæ, quæcumque molestiam quamdam cum utilitate conjunctam habent, tum possidentibus tum abjicientibus eas dolorem adferunt.

ΚΕΦ. ζ'.

Ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν. ἔοικεν, ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμή, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑπομένουσι, πάντα δὲ κίνδυνον ὑπομένουσι.

β'. Καὶ ὑμεῖς, ὡς ἔοικε, τοσαῦτα μὲν ἀγαθὰ ἔχοντες, ὁπόσα λέγεις, τὴν τυραννίδος, ὅμως μετρίως φέρεσθε εἰς αὐτὴν, ὅπως τιμᾶσθε, καὶ ὑπηρετοῦσι μὲν ὑμῖν πάντες πάντα τὰ προσταττόμενα ἀπροφασίστως, περιβλέπουσι δὲ πάντες, ὑπαιτιῶν δ' ἀπὸ τῶν ἄλλων, ὁδῶν τι παραχωροῦσι, μεταίρουσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ πρόντες ἀεὶ ὑμᾶς. τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις οἱ ἀρχόμενοι, * καὶ ἄλλον ὁντινα ἀεὶ τιμῶντες τυγχάνουσι.

γ'. Καὶ γάρ μοι δοκεῖ, ὦ Ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν

CAP. VII.

HIs ex ipso auditis Simonides: Magnum, inquit, esse quiddam honos videtur, Hiero, quem qui adpetunt, laborem omnem subeunt, omne periculum sustinent.

2. Vos quoque, ceu videtur, utut tantum molestiarum tyrannis habeat, quantum commemoras; nihilominus præcipiti ad eam impetu ferimini, ut nimirum honorem adipiscamini, atque ut vobis omnes in omnibus, quæ mandatis, ulla sine recusatione inserviant, universi vos respiciant, de sellis adsurgant, de via cedant; omnes denique familiares vestri semper vobis tum verbis tum factis honorem deferant. Nam hujusmodi quidem certe quædam subditi regibus exhibent, atque alium etiam quemcunque honore semper adficere non desinunt.

3. Etenim videtur, Hiero, ceteris ab animantibus homo in hoc

τ' ἄλλων ζώων, τῷ τιμῆς ὀρέγεσθαι· ἐπεὶ σιτίοις τε, καὶ ποτοῖς, καὶ ὕπνοις, καὶ ἀφροδισίοις πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῶα· ἡ δὲ φιλοτιμία οὐτ' ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύεται, οὔτ' ἐν ἅπασιν ἀνθρώποις. οἷς δ' ἂν ἐμφυῇ τιμῆς τε καὶ ἐπαίνου ἔρως, οὗτοί εἰσιν ἤδη οἱ πλεῖστον μὲ τ' βοσκημάτων διαφέροντες, ἄνδρες δὴ, καὶ οὐκέτ' ἄνθρωποι μόνον νομιζόμενοι.

δ'. Ὥστε ἐμοὶ μὲ εἰκότως δοκεῖτε ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε ἐν τυραννίδι, ἐπίσῃ τιμᾶσθε διαφερόντως τ' ἄλλων ἀνθρώπων. καὶ γὰ ἡδεμία ἀνθρωπίνη ἡδονὴ οὔ θείᾳ ἐλευθέρῳ δοκεῖ εἶναι, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη.

ε'. Πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων· Ἀλλ', ὦ Σιμωνίδη, καὶ αἱ τιμαὶ τ' τυράννων ὁμοίαι ἐμοὶ δοκοῦσιν εἶ), οἷά σοι τὰ ἀφροδίσια ὄντα αὐτῶν ἀπέδειξα.

ς'. Οὔτε γὰ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουργίαι χάριτες ἡμῖν ἐδόκουν εἶ), οὔτε τὰ ἀφροδίσια τὰ βίᾳ, ἡδέα

hoc mihi differre, quod honoris sit cupidus. Nam de cibis, potu, somno, re venerea, consentaneum est, pari quodam modo animalia cuncta voluptatem percipere. Verum ambitio neque animantibus rationis expertibus à natura inest, neque cuivis homini. Quibus autem honoris ac laudis innata est cupiditas, illi vero sunt, qui plurimum à pecudum natura differunt, ac viri plane, non homines duntaxat existimantur.

4. Quo fit, ut equidem arbitrer, merito vos omnia in regno quæ fertis, ferre, quando supra mortales ceteros vobis honos defertur. Nulla enim voluptas humana videtur ad divinam accedere propius, quam ea, quæ ex honoribus percipitur, delectatio.

5. Ad hæc Hiero: Verum, mi Simonides, ait, etiam tyrannorum honores illis mihi consimiles venereis congressibus esse videntur, qualibus eos uti demonstrabam.

6. Nam neque obsequia eorum qui non redamarent, pro gratificationibus habenda videbantur; neque congressus venerei vi extorti,

ἡδέα ἐφάνετο. ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουργίαι ὑπὸ τῶν φοβουμένων τιμῶνται.

ζ'. Πῶς γὰρ ἂν φαίημεν ἢ τοὺς βίᾳ ἐξαναστάντας θάκων, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας, ἐξανίστασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας τοῖς κρείττοσι, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας, παραχωρεῖν;

η'. Καὶ δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις ὧν μισοῦσι, καὶ ταῦτα ὅταν μάλιστα φοβῶνται μή τι κακὸν ὑπ' αὐτῶν πάθωσιν. Ἀλλὰ ταῦτα μέν, οἶμαι, δουλείας ἔργα εἰκότως ἂν νομίζοιτο, αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων τούτοις γίγνεσθαι.

θ'. Ὅταν γὰρ οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ σπουδάζειν αὐτοῦ ἀγαθὰ νομίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες, θεῶνταί τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθόν, ἑκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανιστῶνται, φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανῶσι κοινῆς ἀρετῆς καὶ

voluptati esse. Eodem scilicet modo nec obsequia præstita ab illis qui nos metuunt, pro honoribus haberi debent.

7. Nam qui dicere possimus, eos qui vi coacti de sellis adsurgunt, idcirco surgere, quod homines injustos honore cupiant adficere? Vel eos qui superioribus de via cedunt, idcirco decedere, ut injustos homines honore adficiant?

8. Plerique certe etiam iis quos odere, munera largiuntur; idque tum maxime, quum metuunt, ne quid ipsis mali ab eis accidat. Verum hæc mea quidem sententia servilia putari merito debent, quum honores ex eis oriantur, quæ his sunt contraria.

9. Nam quum hominum ea est opinio, ut quis ad bene de ipsis promerendum satis sit idoneus, ejusque se bonis fruituros arbitrantur: tum vero si eum & prædicando in ore habeant, & tamquam bonum proprium singuli spectent, ac lubentibus animis ei de via cedant, de sellis adsurgant, cum benevolentia, non metu, virtutis ac beneficiorum in rempublicam

causſa

καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέλωσιν, οἱ αὐτοὶ ὅ-τοι ἔμοιγε δοκοῦσιν τιμᾶν τε τοῦτον ἀληθῶς, οἳ ἂν τοιαῦτα ὑπουργήσωσι, καὶ ὁ τούτων ἀξιούμενος, τιμᾶσθαι τῷ ὄντι.

ι'. Καί ἔγωγε τὸν μὴ οὕτω τιμώμενον μακαρίζω. αὐθαίνομαι γὰρ αὐτὸν οὐκ ὀπιβουλευόμενον, ἀλλὰ φειδιπ-ζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως καὶ ἀνεπιφθόνως καὶ ἀκινδύνως καὶ εὐδαιμόνως τὸν βίον διάγοντα. ὁ δὲ τύ-ραννος, ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως, ὦ Σιμωνίδη, οὐ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγων.

ια'. Ἐπεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ Σιμωνίδης· καὶ πῶς, ἔφη, ὦ Ἱέρων, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλλάττῃ οὕτω μεγάλου κακοῦ; οὔτε σύ, οὔτε ἄλλος μὲν δὴ οὐδεὶς πώποτε ἑκὼν * εἰς) τυραννίδος ἀφεῖτο, ὅστις ἂν ἅπαξ κτήσαιτο.

ιβ'. Οπ,

causſa coronis ornent, munera largiantur: videntur mihi & illi, quotquot hæc obſequia præſtant, revera ipſum honore proſequi; pariterque is, quem his dignantur, revera honore adfici.

10. Quinetiam illum, cui talis honos defertur, felicem prædico. Nam animadverto, inſidias ei nullas fieri, ſed aliis eſſe curæ, ne quid ipſi accidat: adeoque hunc metus, invidiæ, periculi expertem, ævum beatum agere. Tyrannus autem, ſat ſcito, mi Simonides, neque noctu, neque interdiu vivit aliter, atque ſi propter injuſtitiam damnatus ad mortem ab hominibus univerſis eſſet.

11. Poſteaquam hæc omnia Simonides audiviſſet: Qui vero fit, inquit, Hiero, quod quum tam ærumnoſa res ſit regno potiri, idque tu animadverteris, tanto malo temet non liberes? Nimirum nec tu, nec quiſquam alius umquam ſponte ſua regnum reliquit, poſteaquam ſemel id nanctus eſſet.

12. Quia

ιβ'. Ὅτι, ἔφη, ὦ Σιμωνίδη, ταύτῃ ἀθλιώτατόν ἐστιν ἡ τυραννίς. οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσαι τυράννῳ ἢ χρήματα ἐκ πόνων, ὅσους ἀφείλετο, ἢ δεσμοὺς ἀντιπαθέσαι, ὅσους δὴ ἐδέσμωσεν, ἢ ὅσους κατέκλανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀντιπαθέσαιτο ἀποθανουμένας;

ιγ'. Ἀλλ' εἴπερ τῷ ἄλλῳ, ὦ Σιμωνίδη, λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι (ἔφη) ὅτι τυράννῳ ἔγωγε εὐείσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιοῦσαν. μόνῳ γὰρ αὐτῷ ἔστι ἔχειν, ἃ τε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ.

ΚΕΦ. η'.

Καὶ ὁ Σιμωνίδης ὑπολαβών, εἶπεν· ἀλλὰ τὸ μὲν νῦν, ὦ Ἱέρων, ἀθύμως ἔχειν σε περὶ τὴν τυραννίδα θαυμάζω, ἐπεὶ περ ὑπ' ἀνθρώπων, ἐμποδών σοι τοῦτο νομίζεις αὐτὸ εἶναι. ἐγὼ μέντοι ἔχειν

12. Quia enim, ait, mi Simonides, hac ipsa in parte miserrimum quiddam est tyrannis. Nec enim ea quis liberari potest. Nam qui tamdem tyrannus quispiam tantum opum habeat, quantum satis sit ad persolvendum iis quibus abstulit sua? qui compensare possit iis vincula, quos vinculis constrinxit? qui tot animas occisas iis restituat, quos sustulit?

13. Nimirum si ulli alii, mi Simonides, laqueo vitam ut finiat, expedit: equidem reperio maxime tyranni è re esse, ut id faciat. Nam illi soli neque retinere, neque deponere quæ mala sunt, expedit.

CAP. VIII.

ET Simonides hoc ipsius sermone excepto: Te vero, inquit, non æquo esse erga tyrannidem animo non miror, Hiero. Quippe dum amari ab hominibus cupis, hanc esse tibi impedimento arbitraris. At ego posse

ἔχῃ μοι δοκῶ διδάξαι σε, ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖν γε τῆς ἰδιωτείας.

β'. Ἐπισκοποῦντες δὲ αὐτό, εἰ ὅπως ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ ἆρα τὸ μεῖζον δύναται ὁ ἄρχων ἢ χαρίζεσθαι πλείω δύναιτ' ἄν. ἀλλ' ἂν τὰ ὅμοια ποιῶσιν ὅ, τε ἰδιώτης καὶ ὁ τύραννος, σκόει πότερος μείζω ἀπὸ τῆς ἴσων κτῆσιν χάριν. ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων.

γ'. Ἰδὼν γάρ τινα τῶν ἐπιτυχόντων τινὰ φιλικῶς ὅ, τε ἄρχων καὶ ὁ ἰδιώτης, ἐν τούτῳ τίνι ποτέρου τῶν ὄψεσθαι μᾶλλον εὐφραίνειν τὴν ἀκούσαντα νομίζεις; ἴθι δή, ἐπαινεσάντων ἀμφοτέρων τὸν αὐτόν, τὸν ποτέρου δοκεῖς ἔπαινον ἥδιον ἂν θεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος, τὸν παρ' ὁποτέρου τιμὴν μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν;

δ'. Κάμνοντα θεραπευσάτωσαν ὁμοίως, δοκοῦν τοῦτο σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι καὶ χάριν

posse me docere arbitror, imperium minime prohibere, quominus quis diligatur: immo etiam in hoc vitam privatam superare.

2. Verum in hac consideratione non ad hoc respiciendum est, num is, qui cum imperio est, propterea quod potentiam majorem habeat, beneficia præstare majora possit; sed si paria faciant, homo privatus & rex, cogites velim, uter paribus beneficiis plus sit initurus gratiæ. Ordiar autem minimis ab exemplis.

3. Primum aliquem visum amanter tum princeps, tum privatus aliquis, salutet: utrius compellationem magis illi, qui audiat, gratam fore arbitraris? Age vero, si ambo aliquem laudent, utrius prædicationem existimas eo magis pertingere, ut voluptati sit? Facta re sacra, honore aliquem uterque adficiat; ab utro putas exhibitum honorem, majorem merces gratiâ?

4. Adversa valetudine laborantis uterque similiter curam habeat, an non clarissime adparebit, profectam ab iis qui plurimum possunt curam, & officia, maximam quoque

χαρὰν ἐμποιῶσι μείζω; δότωσαν δὴ τὰ ἴσα, ὑφ' ᾧ σὺ τούτῳ σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσεαι χάριτες πλέον, ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα, δυνανται;

ε'. Ἀλλ' ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ χάρις συμπρέπεσθαι ἀνδρὶ ἄρχοντι. μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον θεώμεθά τε μᾶλλον, ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ· ἀσπαζόμενοί τε ἀγαλλόμεθα τοῖς παρεστεμμένοις μᾶλλον, ἢ τοῖς ἐκ τοῦ ἴσου ἡμῖν οὖσι.

ς'. Καὶ μὰ παιδικά γε (ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμφω τὴν τυραννίδα) ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει, ἥκιστα δ' ἂν αἶσχος παρὰ ὃν ἂν τυγχάνοι ὁμιλῶν, τοῦτο ὑπολογίζεται. αὐτὸ γὰρ τὸ πεπᾶσθαι μάλιστα σωσπιόσμει, ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν.

ζ'. Ὁπότε

quoque lætitiam adferre? Donentur æqualia, annon heic etiam perſpicuum erit, profecta ab eis qui plurimum poſſunt, dimidia beneficia plus poſſe, quam totam hominis privati largitionem?

5. Equidem puto etiam divinitus fieri, ut hominem, qui cum imperio ſit, honor ac gratia quædam comitetur. Non tantum enim hominem pulchriorem efficit imperium, ſed eundem contemplamur magis, ubi jam nanctus eſt imperium; quam quum priuatus eſſet: atque etiam magis avemus cum illis colloqui, qui eximio ſupra cæteros in honore ſunt, quam cum aliis, qui nobis ſunt pares.

6. Amores itidem (qua in parte tu maxime tyrannidem vituperabas) minime ſenectutem ejus, qui cum imperio eſt, moleſte ferunt: neq; ulla ratione id turpe ducitur, cum quocumque tamdem ille converſetur. Nam ornamento eſt eis maximo, quod apud illum in honore ſunt: itaque fit, ut quæ in eo ſunt moleſta, evaneſcant; quæ vero pulcra, ſplendidius eluceſcant.

7. Enim-

ζ'. Οπότε γε μὴν ὀλίγων τῶν ἴσων ὑπηρημάτων μειζόνων χαρίτων ὑμεῖς τυγχάνετε, πῶς οὐκ, ἐπειδάν γε ὑμεῖς πολλαπλάσια μὴ ἀφανοῦντες ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι ἔχητε, ὑμᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσήκει;

η'. Καὶ ὁ Ἱέρων εὐθὺς ὑπολαβών· ὅτι νὴ Δία, ἔφη, ὦ Σιμωνίδη, ἡμῶν ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι ἡμᾶς, πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι.

θ'. Πρακτέον μέν γε χρήματα, εἰ μέλλοιμεν ἔξειν δαπανᾶν εἰς τὰ δέοντα· ἀναλωτέον δὲ φυλάττειν, ὅσα δεῖται φυλακῆς· κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους. καὶ ὅταν γε τάχους χρεὼν γίγνηται, ἢ πεζῇ, ἢ κατὰ θάλασσαν ὁρμᾶσθαι, οὐκ ὀκνητέον τοῖς ῥαδιουργοῦσιν.

ι'. Επὶ δὲ μισθοφόροις μὴ ἀνδρὶ τυράννῳ δεῖ. τούτου δὲ βαρύτερον φόρημα οὐδὲν ἐστὶ τοῖς πολίταις. οὐ γὰρ τυράννοις τιμῆς, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι.

ΚΕΦ.

7. Enimvero quum ex paribus officiis majores vos ineatis gratias, & multo plura, quam nos, præstando, juvare possitis alios, atque etiam multo plura largiri: cur non magis vos amari consentaneum fuerit, quam privatos homines?

8. Et excepto ipsius sermone Hiero: Quia, mi Simonides, inquit, necesse nos est multo etiam plura ejusmodi agere, quam privatos, ob quæ hominum in odio sumus.

9. Exigendæ pecuniæ, si quidem ad res necessarias sumtus habere volumus: cogendi quidam ad custodiendum ea quæ custodia indigent: puniendi injusti, & coercendi qui petulantes esse volunt. Quod si celeritatem occasio temporis postulet, ad suscipiendam vel terra vel mari expeditionem, non ignavis res committenda est.

10. Præterea mercenario milite opus est regi, quo nullum onus civibus gravius est. Arbitrantur enim, hos à tyrannis ali, non ut eis honori sint, sed ut viribus ipsi sint potiores.

ΚΕΦ. θ'.

Πρὸς ταῦτα δὴ πάλιν εἶπεν ὁ Σιμωνίδης· ἀλλ' ὅπως μὲν ὑπὲρ πάντων τούτων ἐπιμελητέον, ὦ Ἱέρων ὑμῖν λέγω. ἐπιμέλειαι μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ μετὰ χαρίτων εἶναι).

β'. Τὸ μὲν γὰρ διδάσκειν ἃ ἴσθ' βέλτιστα, καὶ τὰ καλλίστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾶν, αὐτὴ μὲν ἐπιμέλεια μετὰ χαρίτων γίγνεται· τὸ δὲ τὰ οἰδέως τι ποιοῦντα λοιδορεῖν τε, καὶ ἀναγκάζειν, καὶ ζημιοῦν, καὶ κολάζειν, ταῦτα δὴ ἀνάγκη δι' ἀπεχθείας μᾶλλον γίγνεσθαι.

γ'. Ἐγὼ οὖν φημὶ, ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δέομενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἄλλα ἀποδιδόναι, δι' αὐτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα.

δ'. Καὶ γὰρ ὅταν χορὸς ἡμῖν βουλώμεθα ἀγωνίζεσθαι, ἄλλα μὲν ὁ ἄρχων παρέχεται, ἀγείρειν δὲ αὐτὸς προστάττει χορηγοῖς,

CAP. IX.

AD quæ rursus Simonides: Ego vero, mi Hiero, non nego harum omnium rerum curam suscipiendam esse: sed tamen videntur mihi curationes aliæ in odium adducere, aliæ magna cum gratia conjunctæ esse.

2. Nam docere, quæ optima sunt, & pulcherrime illa præstantem prædicare atque in honore habere, ea curatio cum gratia quadam fit. At eum, qui non recte aliquid agit, convitiis incessere, cogere, multare, punire: hæc vero cum odio quodam fieri necesse est.

3. Quamobrem aio equidem, id quod necessitas requirit, debere illum qui cum imperio est, aliis puniendum mandare: præmia vero per seipsum largiri. Quod sane recte fieri, rerum eventa testantur.

4. Nam quum choros decertare volumus, præmia quidem præfectus ipse proponit, congregandi autem ipsos munus cho-

ragis

χορηγοῖς, καὶ ἄλλοις, διδάσκειν καὶ ἀνάγκην τοῦ σπουδάζειν τοῖς ἀνδρῶς τι ποιοῦσιν. Οὐκοῦν εὐθὺς ἐν τούτοις τὸ μὲν ἡδέως παρὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ δ' ἀντίτυπα δι' ἄλλων.

ε'. Τί οὖν κωλύει καὶ τἆλλα τὰ πολιτικὰ ὅτῳ τρόπῳ ἄγεσθαι; διήρηται μὲν γὰρ ἅπασαι αἱ πόλεις αἱ μὲν κατὰ φυλάς, αἱ δὲ κατὰ μοίρας, αἱ δὲ κατὰ λόχους· καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασιν.

ς'. Οὐκοῦν εἴπερ ἐν τούτοις (ὥσπερ τοῖς χορηγοῖς) ἆθλα προτίθεται καὶ εὐοπλίας, καὶ εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς ἐν πολέμῳ, καὶ δικαιοσύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίαν εὖ τόνως ἀσκεῖσθαι.

ζ'. Καὶ ναὶ μὰ Δία ὁρμῷντο ἂν ῥᾷστον ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα ῥᾳδίως εἰσφέροιεν, ὁπόταν τούτου χρεὼς εἴη, καὶ (τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράττεσθαι)

ragis datur, itemque aliis, docendi, & cogendi eos qui non sat recte aliquid præstent. Ita statim heic quod cum gratia conjunctum est, per præfectum ipsum curatur: quæ vero dura sunt, per alios.

5. Quin igitur impedimento sit, quo minus etiam res civiles ceteræ consimili ratione peragantur? Divisæ sunt enim urbes universæ partim in tribus, partim in classes, partim in centurias, ac singulis partibus præfecti quidã sunt.

6. Quamobrem si quis his quoque (tamquam choris) præmia proponeret ob insignem armaturam, ob ordinis observationem, ob rem equestrem, ob fortitudinem militarem, ob justitiam in commerciis: consentaneum esset, futurum ut etiam hæc omnia per contentionẽ acriter exercerentur.

7. Ac profecto ad id, quo opus esset, celerius impellerentur, si quidem honoris cupiditate ducerentur: itemque citius pecuniam conferrent, quando sic usus postularet: & (quod quidem fructuosissimum est, quamquam per contentionem agi minime consueverit)

ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴπις ἄθλα προτιθείη κατ' ἀγροὺς, ἢ κατὰ κώμας τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τὴν πολιτῶν ἐρρωμένως παρεσκευασμένοις πολλὰ ἂν ἀγαθὰ φαίνοιτο.

η'. Καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ' ἂν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαραμαρτοῖ. καὶ μὴν κακουργίαν γε ἥκιστα τοῖς ἐργοῖς ἐμφύονται.

θ'. Εἰ δὲ καὶ ἐμπορία ὠφελεῖ τι πόλιν, πλουτοῖ ἂν ὁ πλεῖστα τοῦτο ποιῶν καὶ ἐμπορίας ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τιμήσεται, οὐδὲ αὕτη ἂν ἡ σκέψις ἀργοῖτο.

ι'. Ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτιμητὸς ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖσθαι τι ἀγαθόν. καὶ ὅταν γε πολλοῖς δὴ

ipsa agricultura magnum incrementum sumeret, si quis per agros, vel per vicos, optime terram excolentibus præmia constitueret: adeoque civibus, qui totis viribus in id incumberent, multa bona conficerentur.

8. Nam & proventus augerentur, & modestia multo magis occupationum comes esset: ne dicam, etiam facinora minus in iis qui opus faciunt, existere.

9. Quod si etiam mercatura reipublicæ commodum aliquod adfert, major mercatorum numerus excitabitur; si is, qui plurimum negotiatur, adfectus honore fuerit. Quod si futurum pateat, ut qui sine aliorum molestia proventum aliquem reipublicæ excogitat, & ipse ornetur: ne illa quidem consideratio relinquetur.

10. Denique, summatim ut dicam, si in omnibus perspicuum esset, non carituram honore, si quis boni alicujus auctor exstiterit; multos hoc etiam impelleret, ut studiose boni aliquid investigarent. Jam si commoda reipublicæ

περὶ τ' ὠφελίμων μέλῃ, ἀνάγκη εὐρίσκεσθαί τε μᾶλλον καὶ ὑπουργεῖσθαι.

ια'. Εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἆθλοις προτεθεμένων, πολλὰ δαπάναι γίγνωνται, σκόπει ὅτι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι ἆθλων ὠνοῦνται. ὁρᾷς γὰρ ἱππικοῖς, καὶ γυμνικοῖς, καὶ χορηγικοῖς ἀγῶσιν ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας, καὶ πολλοὺς πόνους, καὶ πολλὰς ὑπομελείας ἐξάγει ἀνθρώπων;

ΚΕΦ. ι'.

ΚΑΙ ὁ Ἱέρων εἶπεν· Ἀλλὰ ταῦτα μέν, ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν. περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς μὴ μισεῖσθαι δι' αὐτούς; ἢ λέγεις, ὡς φιλίαν κτησάμενον ἄρχειν, οὐδὲν ἔτι δέησεται δορυφόρων;

β'. Ναὶ μὰ Δία, εἶπεν ὁ Σιμωνίδης, δεήσει μέν γε. οἶδα γάρ, ὅτι

publicæ multis curæ ſint, neceſſe eſt magis aliquid inveniri, & præſtari.

11. Quod ſi metuis, Hiero, ne propoſitis ad multa præmiis, magni ſumtus fiant: cogitato, nullas eſſe merces utiliores, quam quæ præmiis redimuntur. Vides in equeſtribus, & gymnicis, & ſcenicis certaminibus, quam exiguis præmiis ingentes ſumtus, multique labores, & multa etiam hominum ſtudia eliciantur?

CAP. X.

ET Hiero: Recte tu quidem, inquit, illa mihi dicere videris, Simonides. Ceterum de ſtipendiario milite num proferre quid potes, ut videlicet propter ipſos minus in odio ſimus? an ais principem, amicitia hominum conciliata, ſatellitum opera nihil amplius egere?

2. Immo, inquit Simonides, egebit certe. Nam ſcio, perinde

ὅτι

ὅπι ὥσπερ ἐπὶ ἵπποις, οὕτω καὶ ἀνθρώποις πολὺν ἐγγίγνεται, ὅπῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέρους εἶ).

γ'. Τοὺς μὲν οὖν τοιούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος· τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα ὠφελήματα παρέχειν, ὅσα ἀπὸ τῶν μισθοφόρων,

δ'. Τρέφῃς μὲν γὰρ καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας· ἤδη δὲ πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον. εἰ οὖν ἐν τοῦτον τοῦτ' εἴη τὸ πεπταγμένον τοῖς μισθοφόροις, ὡς πάντων ὄντας δορυφόρους τῶν πολιτῶν βοηθεῖν πᾶσιν, ἂν τι τοιοῦτον ἀγαθὸν γίγνοιτο· γίγνοιτο δέ τι (ὡς πάντες ἐπιστάμεθα) κακοῦργοι ἐν πόλεσιν. εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν πεταγμένοι, καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι.

ε'. Πρὸς δὲ τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτήμασιν οἵτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν μάλιστα παρέχοιεν, ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν.

inde ut equis, ita & hominibus quibusdam accidere, ut quanto magis ipsis necessaria suppetant, tanto sint petulantiores.

3. Hos igitur magis modestos reddet ortus à satellitibus metus: bonis autem egregiisque viris nulla re tantum mihi posse prodesse videris, quantum his ipsis stipendiariis militibus.

4 Nam tui corporis custodes alis, & multi jamdudum domini, vi suis à servis sunt interemti. Quod si primum hoc militi mercenario imperetur, ut succurrant omnibus, tamquam si essent satellites omnium civium, si quid animadverterint; quumque soleant (ut omnibus notum) existere facinorosi homines in civitatibus, hos quoque si observare jubeantur; scient cives, hanc se utilitatem ex eis percipere.

5. Deinde ruri opus facientibus, ac jumentis quoque, consentaneum est hos & fiduciam, & securitatem præstare posse: idque perinde privatim tuis, atque aliis, qui passim in regione degunt.

χρεαν. ἱκανοί γε μὴν εἰσι καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι, τὰ ἐπίκαιρα φυλάττοντες.

ε'. Πρὸς δὲ τούτοις, καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπινάιας τίνες ἑτοιμότεροι ἢ προαισθέσθαι, ἢ κωλύσαι, τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων, καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατείᾳ τί ἐστιν ὠφελιμώτερον πολίταις μισθοφόρων; τούτους δὲ προπονεῖν, καὶ προκινδυνεύειν, καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους εἶναι.

ζ'. Τὰς δ' ἀγχιτέρμονας πόλεις οὐκ ἀνάγκη ἀεὶ τοὺς ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν; οἱ γὰρ συντεταγμένοι καὶ σώζειν τὰ τῶν φίλων μάλιστα, καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ' ἄν.

η'. Ὅταν γὰρ μὴν γνῶσιν οἱ πολῖται, ὅτι τοὺς κακόν μὲν οὐδὲν ποιοῦσι τὸ μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ

degunt. Possunt etiam civibus præstare otium, per quod liceat ipsis res suas curare, si loca opportuna custodierint.

6. Ad hostium præterea repentinas & occultas insidias vel præsentiendas, vel impediendas, quinam paratiores fuerint, quam illi, qui semper armati sunt, & uno quasi corpore conjuncti? Etiam in ipso bello quid civibus est milite stipendiario utilius? Nam eos & ad laborandum pro aliis, & adeundum pericula, & excubandum, promtissimos esse, consentaneum est.

7. Finitimas quoque civitates an non propter eos, qui semper in armis sunt; necesse est etiam pacis maxime cupidas esse? Nam qui merendis stipendiis conscripti sunt milites, maxime tum amicorum fortunas tueri tum hostium pessundare possunt.

8. Jam si cives intelligant, hos nihil injuste agentibus haud nocere; sed illos impedire, qui alios lædere volunt; injuriam passis succurrere, pro civibus & sollicitos

ἢ συγκινδυνεύσει τῇ πολιτείᾳ, πῶς οὐκ ἀνάγκη ἢ δαπανᾶν εἰς τούτους ἥδιστα; τρέφει γοῦν ἢ ἰδίᾳ ὅτι μείστους τούτων φύλακας.

ΚΕΦ. ια'.

Χρὴ δέ, ὦ Ἱέρων, ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. ἢ δοκεῖ μοιγε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀναλώματα μᾶλλον εἰς τὸ δέον τελεῖσθαι, ἢ τὰ εἰς τὸ ἴδιον ἀνδρὶ τυράννῳ. καθ' ἓν δὲ ἕκαστος σκοπῶμεν.

β'. Οἰκίαν πότερον ὑφ' ἁλλύσῃ δαπάνῃ κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε, ἢ νεωσοῖς, ἢ ἀγοραῖς, ἢ λιμέσι κατασκευασμένην;

γ'. Ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ ἡ πόλεως ὅλης εὐόπλως σοι ἔχουσα;

δ'. Πρόσ-

sollicitos esse, & pericula obire: qui non eos necesse est lubentissime sumtum in hos conferre? Alunt certe privatim custodes rerum etiam minoris momenti.

CAP. XI.

Necesse est etiam, mi Hiero, ut boni publici caussa de tuis quoque facultatibus sumtus facere non recuses. Nam equidem arbitror, ea, quæ civitati impendantur, utilius expendi; quam quæ rex privatim insumit. Consideremus sane rem singillatim.

2. Utrum existimas domum immenso sumtu elegantissime exstructam ornamento tibi majori esse, quam si urbem universam, mœnibus, templis, columnis, foris, portubus instruas?

3. Num si armis ipse plane formidabilibus ornatus sis, majori hostibus terrori fueris; quam si civitas universa bene tibi sit armis instructa?

4. Utrum

δ'. Πρόσοδος δὲ ποτέρως ἂν δοκῇς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐργὰ ἔχοις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένα εἴης ἐργὰ ἔχων;

ε'. Τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα, ἁρματοτροφίαν ποτέρως ἂν δοκῇς μάλιστα κοσμεῖν, εἰ αὐτὸς πλέοις τὰ τῶν Ελλήνων ἅρματα τρέφοις τε, καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς πόλεως πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο; νικᾷν δὲ πότερα δοκεῖς κάλλιον εἶναι ἅρματος ἀρετῇ, ἢ πόλεως, ἧς προστατεύεις, εὐδαιμονίᾳ;

ς'. Ἐγὼ μὲν γὰρ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. νικῶν μὲν γὰρ οὐκ ἂν θαυμάζοιο, ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς δαπάνας ποιούμενος· νικώμενος δ' ἂν, πάντων μάλιστα καταγελῷο.

ζ'. Ἀλλ' ἐγώσοι φημὶ, ὦ Ἱέρων, πρὸς ἄλλης πρέπειν πόλεως

4. Utrum te proventus plures putas habiturum, si tantum quæ privatim ad te spectant, ad fructum comparata tibi sunt; an si viam ac rationem excogitaveris, qua cives universi, quæstum industria sua faciant?

5. Jam quod omnium præclarissimum & magnificentissimum studium esse ducitur, utrum te putas majori cum decore currus instructurum, si unus inter omnes Græcos maximam curruum copiam instituas, & ad celebres illos [Græciæ] conventus mittas: an vero si maxima civium pars equos alat, & pluri decertent? Utrum putas esse pulchrius, currus præstantia vincere; an urbis, cujus es præses, felicitate?

6. Equidem ne convenire quidem aio, ut rex cum privatis hominibus certamine congrediatur. Nam si vincas, non eris in admiratione, sed invidia, veluti qui sumtus ex re familiari multorum facias: at si vincaris, maxime omnium irrisioni eris expositus.

7. Equidem tibi, mi Hiero, propositum esse certamen

πόλεων τ' ἀγῶνα θῇ), ὡς ἐὰν σὺ εὐδαιμονεστάτῳ τῇ πόλιν, ἧς προστατεύεις, παρέχοις, ★ εὖ ἔσῃ νικᾶν τῷ καλλίστῳ, καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι.

η'. Καὶ πρῶτον μὲ εὐθὺς κατειργασμένῳ ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ὃ δὴ σὺ ἐπιθυμεῖς τυγχάνεις. ἔπειτα δὲ τῷ σῷ νίκῃ οὐκ ἂν εἷς εἴη ὁ ἀναχηρύττων, ἀλλὰ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν.

θ'. Περίβλεπτος δὲ ὢν, οὐχὶ ὑπὸ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἄν, καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης.

ι'. Καὶ ἐξείη μὲ ἄν σοι ἕνεκεν ἀσφαλείας, εἴπου βούλοιο, θαρρήσοντι πορεύεσθαι, ἐξείη δ' ἂν αὐτῷ μόνῳ τοῦτο ποιεῖν. ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βουλομένων ἐπιδείκνυσθαι, εἴτις τι σοφὸν, ἢ καλὸν, ἢ ἀγαθὸν ἔχοι, τί δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν·

ια'. Πᾶς

adversus aliorum urbium præsides aio, inter quos si tu civitatem, cujus es princeps, felicissimam reddas; scito te pulcherrimo & magnificentissimo inter homines certaminis genere victorem futurum.

8. Primum effeceris, ut à subditis tuis diligaris, quod tu quidem expetis: deinde victoriam tuam non unus præconio suo publicaret, sed virtutem tuam prædicarent homines universi.

9. Suspicereris itidem, ac diligereris, non solum à privatis hominibus, sed à multis etiam urbibus: nec privatim esses in admiratione, sed publice apud omnes.

10. Liceret tibi, si velles quod securitatem adtinet, spectatum aliquo proficisci; & heic manenti liceret hoc ipsum facere. Semper enim esset apud te cœtus frequens eorum qui edere specimina vellent, si quid haberent vel sapientiæ, vel pulchræ, vel egregiæ rei; atque illorum etiam, qui tibi cuperent operam interviendo navare.

11. Quis-

ια'. Πᾶς δὲ ὁ μὴ παρὼν σύμμαχος ἂν εἴη σοι, ὁ δὲ ἀπὼν ἐπιθυμοίη ἂν ἰδεῖν σε. ὥστε ὑ μόνον φιλοῖο ἄν, ἀλλὰ ϗ ἐρῷο ὑπ' ἀνθρώπων· καὶ τὺς κακοὺς ὑ πειρᾷν, ἀλλὰ πειρώμενον ὑπ' αὐτῶν ἀνέχεσθαι ἄν σε δέοι. φόβον δὲ οὐκ ἂν ἔχοις, ἀλλ' ἄλλοις παρέχοις, μὴπω πάθῃς.

ιβ'. Εκόντας δὲ τὺς πειθομένους ἔχοις ἂν, καὶ ἑθελουσίως σε φρονοῦντας ἡγῷο ἄν. εἰ δέ τις κίνδυνος εἴη, ὑ συμμάχους μόνον, ἀλλὰ καὶ προμάχους, ϗ προθύμους ὁρᾴης ἄν· πολλῶν μὲ δωρεῶν ἀξιούμενος, οὐκ ἀπορῶν δὲ, ὅτῳ τούτων εὐμενεῖ μεταδώσοις· πάντας μὲ συγχαίροντας ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς, πάντας δὲ περὶ τῶν σῶν ἰδίων ὥσπερ τ ἰδίων μαχομένους.

ιγ'. Θησαυρύς γε μὴν ἔχοις πάντας τὺς παρὰ τοῖς φίλοις πλούτους· ἀλλὰ θαῤῥῶν, ὦ Ιέρων, πλούτιζε μὲ τὺς φίλους· σαυτὸν δὲ πλουτίζοις. αὔξει δὲ τ πόλιν· σαυτῷ γὰρ δύναμιν προσάψοις. κτῶ δὲ αὐτῇ συμμάχους.

ιδ'. Νόμιζε

11. Quisquis adesset tibi, socius esse tibi vellet; & qui abesset, videre te cuperet. Adeoque non tantum ab hominibus diligereris, sed etiam amareris. Forma præstantes non ipse tentares, sed tentari te ab eis patereris. Non esset quod tibi metueres; sed potius alii, ne quid accideret tibi, metuerent.

12. Parerent tibi subditi, eosque videres sua sponte de te sollicitos esse. Si quid esset periculi, non auxiliarios tantum, sed etiam propugnatores, eosque alacres cerneres. Multis muneribus dignus judicareris, neque copia deesset, bene tibi volenti vicissim illa impertiendi. Omnes ob commoda tua tecum gauderent, omnes pro bonis privatim tuis, tamquam propriis, dimicarent.

13. Omnes quæ apud amicos essent opes, thesauri tui forent. Tu vero, mi Hiero, amicos collocupletare ne dubites, quum temetipsum hoc modo ditaturus sis. Rempublicam augeto, tibimet ipsi potentiam adjuncturus. Comparato reipublicæ belli socios.

ιδ'. Νόμιζε δὲ τὴν μὲν πατρίδα οἶκον, τοὺς δὲ πολίτας, ἑταίρους· τοὺς δὲ φίλους, τέκνα σεαυτοῦ· τοὺς δὲ παῖδας, *ὅ, περ τὴν σὴν ψυχήν. καὶ τούτους πάντας πειρῶ νικᾶν εὖ ποιῶν.

ιε'. Ἐὰν γὰρ τοὺς φίλους κρατῇς εὖ ποιῶν, ἴσως μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον κτῆμα κεκτῆσθαι. εὐδαιμονοῦντι γὰρ οὐ φθονηθήσῃ.

ΞΕΝΟ-

14. Patriam existimato, domum tuam esse: cives, socios: amicos, liberos tuos: liberos, nihil aliud quam tuum ipsius animum. Atque hos omnes beneficiis superare contendito.

15. Nam si amicos benefaciendo viceris, resistere tibi hostes minime poterunt. Denique si hæc omnia præstiteris, scito plane quiddam te longe humanis in rebus præclarissimum felicissimumque consequuturum; ut tametsi beatus sis, invidiam tamen haud experiaris.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ

ΠΟΡΟΙ,

Η ΠΕΡΙ ΠΡΟΣΟΔΩΝ.

ΚΕΦ. α'.

ΕΓΩ τῦτο μὲ ἀεί ποτε νομίζω, ὁποῖοί τινες ἂν πρῶτοι ὦσι, τοιαύτας καὶ τὰς πολιτείας γίγνεσθαι. ἐπεὶ δὲ τῶν Αθηναίων προεστηκότων ἐλέγοντό τινες, ὡς γιγνώσκοιεν μὲ τὸ δίκαιον ἧττον τ' ἄλλων ἀνθρώπων, ἀλλὰ δὲ ἡ γε πλήθυς πενίαν ἀναγκάζεσθαι ἔφησαν ἀδικωτέροις εἶναι πρὸς τὰς πόλεις· ἐκ τῦτο ἐπεχείρησα σκοπεῖν, εἴπη δυναίμην ἂν οἱ πολῖται ἀφ-

XENOPHONTIS

RATIONES REDITUUM,

SEU DE PROVENTIBUS.

CAP. I.

EQUIDEM in hac ſententia ſum perpetuo, quales ſint præſides, tales & reſpublicas eſſe. Quia vero nonnulli ex iis qui hactenus Athenienſium reipublicæ præſunt, ſcire quidem illi, quid juſtum ſit, non minus quam homines cæteri, perhibentur, ac propter inopiam plebis cogi ut paulo ſe gerant erga civitates ſuas iniquius: conſiderare mecum ipſe adgreſſus ſum, an aliqua ratione cives ſuis

ἀφαιρεθῆναι ἐκ τῆς ἑαυτῆς, ὅθεν ἂν καὶ δικαιότατον νομίζων, εἰ τοῦτο γένοιτο, ἅμα τῇ τε πενίᾳ αὐτῶν ἐπικεκρῆσθαι ἂν, καὶ τὸ ἀνυπόπτους τοῖς Ἕλλησιν εἶναι.

β'. Σκοπεῖτε δέ μοι ἃ ἐπενόησα, τοῦτο μὴ εὐθὺς ἀνεφάνετο, ὅτι ἡ χώρα πέφυκεν οἵα πλείστας πρόσοδους παρέχεσθαι. ὅπως δὲ γνωσθῇ, ὅτι ἀληθῆς τοῦτο λέγω, πρῶτον διηγήσομαι τὴν φύσιν τῆς Ἀττικῆς.

γ'. Οὐκοῦν τὸ μὲν τὰς ὥρας οἰκάδε πραοτάτας εἶναι, καὶ αὐτὰ τὰ γιγνόμενα μαρτυρεῖ. ἃ γοῦν πολλαχοῦ ὧδε βλαστάνειν λωίστ' ἂν, οἰκάδε καρποφορεῖ. ὥσπερ δὲ ἡ γῆ, οὕτω καὶ ἡ περὶ τὴν χώραν θάλαττα παμφορωτάτη ὄσι. καὶ μὴν ὅσα πρὸς ἡδονὴν ἐν ταῖς ὥραις ἀγαθὰ πρέχουσι, καὶ ταῦτα πάντα οἰκεῖα τῇδε παρῄαται μὴ ἄρχεται, ὀψιαίτατα δὲ λήγει.

δ'. Οὐ μόνον δὲ κρατεῖ τοῖς ἐπ' οἰκείου θάλλουσί τε

ex finibus ali possint: quæ quidem ratio esset justissima. Existimabam enim, si id accideret, eadem opera consultum inopiæ ipsorum esse; ipsosque Græcis aliis minime suspectos evadere.

2. Considerati vero mihi ea, quæ cogitaram, primum visa est ipsa regio esse talis à natura, quæ maximam proventuum vim suppeditare possit. Atque ut intelligatur, hoc vere me dicere; primum, quæ Atticæ natura sit, commemorabo.

3. Anni ergo tempora heic admodum esse mitia, fructus ipsi, qui proveniunt, testantur. Etenim multa, quæ alibi ne pullulare quidem possent, heic fructus suos proferunt. Atque ut solum ipsum, ita etiam mare, quod regionem ambit, omnium rerum feracissimum est. Quinetiam quæcunque bona Dei singulis anni temporibus suppeditant, ea bona omnia heic & tempestive admodum incipiunt, & tardissime deficiunt.

4. Neque tantum potior est iis quæ in annos singulos & florent, &

ϗ μεράκιωσιν, ἀλλὰ ϗ ἀΐδια ἀγαθὰ ἔχει ἡ χώρα. πέφυκε μὲν γὰρ (a) λίθος ἐν αὐτῇ ἄφθονος, ἐξ οὗ κάλλιστοι μὲν ναοί, κάλλιστοι δὲ βωμοὶ γίγνονται, εὐπρεπέστατα δὲ θεοῖς ἀγάλματα. πολλοὶ δ' αὐτοῦ καὶ Ἕλληνες καὶ βάρβαροι ποθοῦσιν.

ε'. Ἔτι δὲ ϗ γῆ, ἡ σπειρομένη μὲν φέρει καρπὸν, ὀρυσσομένη δὲ πολλαπλασίονα πέφυκε, ἢ εἰ σῖτον ἔφερε. καὶ μὴν ἀπάρχεσθαι σαφῶς θεία μοῖρα. πολλῶν γοῦν πόλεων παροικουσῶν ϗ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς ὀδεμίαν τούτων ὅδε μικρὰ φλὲψ ἀργυρίτιδος διήκει.

ς'. Οὐκ ἄν ἀλόγως δέ τις οἰηθείη τ Ἑλλάδος καὶ πάσης δὲ τ οἰκουμένης ἀμφὶ τὰ μέσα ᾠκῆσθαι τ πόλιν. ὅσῳ γὰρ οὖν τινες πλεῖον ἀπέχουσιν αὐτῆς, τοσούτῳ χαλεπωτέρῃς ἢ ψύχεσιν ἢ θάλπεσιν ἐντυγχάνουσιν. ὁπόσοι τ' ἂν οὖν βουληθῶσιν ἀπ' ἐσχάτων τ Ἑλλάδος ἐπ' ἔσχατα ἀφικέσθαι, πάντες ὅτοι ὥσπερ κύκλου τόρνον τὰς Ἀθήνας ἢ παραπλέουσιν, ἢ παρέρχονται.

ζ'. Καὶ

& feneſcunt: ſed habet etiam hæc regio perpetua quædam bona. Nam ſaxi nativi perennis eſt in ea copia, de quo fana pulcherrima, pulcherrimæ aræ, ſigna Deorum maxime decora fiunt: quod quidem ſaxum complures & Græci & barbari deſiderant.

5. Præterea ſolum quoddam eſt, quod aratum non ferret fructum: at ſi fodiatur, multo plures alit, quam ſi frumenti ferax eſſet. Etenim divino quodam munere haud dubie ſub eo eſt argentum. Quumque multæ ſint urbes tum terra tum mari finitimæ, ne quidem in ullam earum vel exigua terræ argentiferæ vena pertinet.

6. Neque vero abſque ratione quis exiſtimet, urbem hanc Græciæ, immo vero totius terrarum orbis in medio ſitam eſſe. Quanto ſcilicet longius abſunt aliqui ab ea, tanto moleſtiora vel frigora vel æſtus experiuntur. Quotquot item ab extremis Græciæ finibus ad alios itidem extremos pergere voluerint, omnes tanquam circuli umbilicum Athenas vel præternavigant, vel prætereunt.

ζ'. Καὶ μὴν ὁ μὲν ἀπείρητός γε οὖσα, ὅμως (ὥσπερ νῆσος) πᾶσιν ἀνέμοις κομίζεταί τε ὧν δεῖται, καὶ ἐκπέμπεται ἃ βούλεται. ἀμφιθάλασσος γάρ ἐστι. καὶ ἐπὶ γῆν δὲ πολλὰ δέχεται ἐμπόρια. ἤπειρος γάρ ἐστι.

η'. Ἐπὶ δὲ ταῖς μὲν πλείσταις πόλεσι βάρβαροι κομιστοὶ τὰ ἐπιτήδεια παρέχουσιν, Ἀθηναίοις δὲ γειτονεύουσιν αἱ καὶ αὐταὶ πλεῖστον ἀπέχουσι τῶν βαρβάρων.

ΚΕΦ. β'.

Τούτων μὲν οὖν ἁπάντων (ὥσπερ εἶπον) νομίζω αὐτὴν τὴν χώραν αἰτίαν εἶναι. εἰ δὲ πρὸς τοῖς αὐτοφυέσιν ἀγαθοῖς πρῶτον μὲν τὰ μετοίκων ἐπιμέλεια γένοιτο. αὕτη δὲ ἡ πρόσοδος τῶν καλλίστων ἔμοιγε δοκεῖ εἶναι), ἐπεὶ καὶ αὐτοὺς πρέφοντες, καὶ πολλὰ ὠφελοῦντες τὰς πόλεις, οὐ λαμβάνουσι μισθόν, ἀλλὰ μετοίκιον προσφέρουσιν.

β'. Ἐπιμέλειά γε μὴν ἣν ἂν ἀρκεῖν μοι δοκεῖ,

7. Ac tametsi aquis non circumfusa est, nihilominus (tanquam insula) quovis vento, quæ necessaria sunt, adfert; & quæ vult, exportat; quippe quæ à mari utrinque ambiatur. Etiam terra mercatus multos admittit, quod terra sit continens.

8. Præterea quum barbari plurimis urbibus vicini negotia facessant, Athenienses vicinas illas habent civitates, quæ maximo à barbaris intervallo distant.

CAP. II.

HOrum igitur omnium causſam (ut dixi) positam in ipso esse solo arbitror. Quod si ad nativa bona, primum accedat advenarum cura. Nam hic mihi proventus ex optimis esse videtur. Quippe quum illi seipsos alant, & multis commodis civitates adficiant; non tamen ullam mercedem accipiunt, sed potius etiam pensionem advenis impositam offerunt.

2. Existimo autem curam eam suffecturam,

κεῖ, εἰ ἀφέλοιμεν μὲ ὅσα μηδὲν ὠφελοῦντα τ' πόλιν ἀτιμίας δοκεῖ τοῖς μετοίκοις πρέχειν, ἀφέλοιμεν δὲ καὶ τὸ συστρατεύεσθαι ὁπλίτας μετοίκοις τοῖς αὐτοῖς. μέγα μὲ γὰρ ὁ κίνδυνος ἀπὼν, μέγα δὲ καὶ τὸ ἀπὸ τ' τέκνων καὶ τ' οἰκιῶν ἀπέναι.

γ'. Ἀλλὰ μὴν καὶ ἡ πόλις γ' ἂν ὠφεληθείη, εἰ οἱ πολῖται μετ' ἀλλήλων στρατεύοιντο μᾶλλον, ἢ συνετάττοιντο αὐτοῖς (ὥσπερ νῦν) Λυδοὶ, καὶ Φρύγες, καὶ Σύροι, καὶ ἄλλοι παντοδαποὶ βάρβαροι. πολλοὶ γὰρ τοιοῦτοι τ' μετοίκων.

δ'. Πρὸς δὲ τῷ ἀγαθῷ τῷ τούτους οὐκ ἐᾶν συντάττεσθαι ἀφεθῆναι, καὶ κόσμος ἂν τῇ πόλει εἴη, εἰ δοκοῖεν Ἀθηναῖοι εἰς τὰς μάχας αὐτοῖς μᾶλλον πιστεύειν, ἢ ἀλλοδαποῖς.

ε'. Καὶ μεταδιδόντες δ' ἄν μοι δοκοῦμεν τοῖς μετοίκοις τ' ἄλλων, ὧν καλὸν μεταδιδόναι, καὶ ἱππικοῦ, εὐνοϊκωτέρους ἂν ποιεῖσθαι, καὶ ἅμα ἰσχυροτέραν ἂν καὶ μείζω τ' πόλιν ἐπιδεικνύναι.

ς'. Εἶτα,

suffecturam, si adimamus illa, quæcunque reipublicæ nulli sunt usui, ac potius advenis infamiæ notam inurere videntur: itemque si adimamus id, quod advenæ una cum civibus armati pedites militatum eant. Etenim magnum quiddam est, si periculum ab eis absit; magnum, liberis & domo quemque sua discedere.

3. Quinctiam utile civitati fuerit, si potius cives una militatum eant, quam si (quod modo fit) eorum ordinibus adjungantur Lydi, Phryges, Syri, aliique diversi generis barbari, cujusmodi plerique sunt advenæ.

4 Præter hoc vero bonum, quod his ordinum militarium societate liberatis existeret; etiam ornamento esset civitati, si viderentur Athenienses in prœliis sibimet ipsis potius fidere, quam exteris.

5. Quod si cum advenis communicemus præter alia, quæ communicari convenit, etiam rei equestris usum: arbitror nos id effecturos, ut magis benevolo sint animo, & civitas viribus augeatur majorque reddatur.

6. Deinde

ς'. Εἶτα, ὅπου καὶ πολλὰ οἰκιῶν ἔρημά ἐστιν οἰκοδομήματα τῶν τειχῶν, καὶ οἰκόπεδα, εἰ καὶ ἡ πόλις δίδοίη οἰκοδομησαμένοις ἐγκεκτῆσθαι, οἱ ἂν αὐτόμολοι ἄξιοι δοκοῖεν εἶναι, πολὺ ἂν οἶμαι καὶ ἐφ' ταῦτα πλείους τε καὶ βελτίους ὀρέγεσθαι τῆς Ἀθήνησιν οἰκήσεως.

ζ'. Καὶ εἰ μετοικοφύλακάς γε, ὥσπερ ὀρφανοφύλακας, ἀρχὴν καθίσαιμεν, καὶ τούτοις τιμή τις ἐπείη, οἵπερ πλείους μετοίκους ἀποδείξειαν, καὶ τοῦτο εὐεργέτας ἂν τοὺς μετοίκους ποιοίη, καὶ (ὡς τὸ εἰκὸς) πάντες ἂν οἱ ἀπόλιδες ἐς Ἀθήνηθεν μετοικίας ὀρέγοιντο, καὶ τὰς προσόδους ἂν αὔξοιεν.

ΚΕΦ. γ'.

Ὡς γε μὴν ἐμπορεύεσθαι ἥδιστα τε καὶ κερδαλεωτάτη ἡ πόλις, νῦν ταῦτα λέξω. πρῶτον μὲν

6. Deinde quum magna pars urbis intra muros, & areæ domorum vacuæ sint, si decreto civitatis concederetur, ut domos exstructas possiderent, quicunque hoc petentes digni esse viderentur: multo plures ac præstantiores etiam ob has causas arbitror expetituros, ut Athenis habitent.

7. Quod si etiam magistratum institueremus, qui ut pupillorum sunt custodes, ita & ipse inquilinorum custos diceretur, atque illis præmium quoddam proponeretur, quorum opera plures inquilini existerent: hoc quoque inquilinos efficeret magis benevolos: & omnes (uti quidem consentaneum est) quotquot alibi cives non essent, Athenis consequi jus inquilinorum cuperent, & proventus augerent.

CAP. III.

URbem vero hanc nostram ad exercendam mercaturam tum optatissimam esse, tum maxime quæstuosam, nunc exponam. Primum enim navis

γὰρ δὴ πᾶν καλλίστας καὶ ἀσφαλεστάτας ἔστολὰς ἔχῃ, ὅπου γ' ὄντ' εἰσορμισθέντας ἡδέως ἕνεκα χειμῶνος ἀναπαύεσθαι.

β'. Ἀλλὰ μὴν καὶ τοῖς ἐμπόροις οὐ μὰ τὰς πλείστας τῶν πόλεων ἀντιφορτίζεσθαί τι ἀνάγκη· νομίσματα γὰρ οὐ χρησίμοις ἔξω χρῶνται. οὐ δὲ τὰς Ἀθήνας πλεῖστα μέν ὄντιν ἀντεξάγειν, ὧν ἂν δέωνται ἄνθρωποι· ἵν' δὲ μὴ βύλωνται ἀντιφορτίζεσθαι, καὶ οἱ ἀργύριον ἐξάγοντες καλὴν ἐμπορίαν ἐξάγουσιν. ὅπου γὰρ ἂν πωλῶσιν αὐτό, παντα χοῦ πλεῖον τῆς ἀρχῆς λαμβάνουσιν.

γ'. Εἰ δὲ καὶ τῇ τῆς ἐμπορίας ἀρχῇ ἆθλα προτεθείη τις, ὅστις δικαιότατα καὶ τάχιστα διαιροίη τὰ ἀμφίλογα, ὡς μὴ ἀποκωλύεσθαι ἀποπλεῖν ὃν βυλόμενον, πολὺ ἂν καὶ διὰ ταῦτα πλείους τε καὶ ἥδιον ἐμπορεύοιντο.

δ'. Ἀγαθὸν δὲ καὶ καλὸν καὶ προεδρίας τιμᾶσθαι ἐμπόρους καὶ ναυκλήρους, καὶ ὅτι ξενία γ' ἔστιν ὅτε καλεῖσθαι, οἳ ἂν δοκῶσιν

navis quælibet heic pulcherrimos ac tutissimos receptus habet, ubi licet adpulsis tempestatis caussa suaviter quiescere.

2. Præterea mercatores plurimis in civitatibus commutare oneribus onera necesse est, quod nummis illæ foris inutilibus utantur. Athenis vero maxima rerum est ad exportandum copia, quibus homines egent: sin onerare navem mercibus permutatis nolint, egregias avehunt merces, quicunque argentum avehunt. Nam ubicunque tandem illud vendiderint, ubique plus recipiunt quam prius habebant.

3. Quod si quis mercaturæ præfecto præmia proponat, qui æquissime celerrimeque dijudicet ea de quibus controvertitur, ut non impediantur ii, qui navigiis discedere volunt: etiam has ob caussas, longe plures, & quidem libentius heic negotiarentur.

4. Esset etiam tum utile tum honestum, mercatores & naucleros loco magis honorato in consessibus ornari; atque illos etiam ad hospitii necessitudinem invitari,

δοκῶσιν ἀξιολόγοις καὶ πλοίοις καὶ ἐμπορεύμασιν ὠφελεῖν τὴν πόλιν. ζῶντα γὰρ πιμώμενοι, οὐ μόνον τὸν κέρδους ἀλλὰ καὶ τὸν τιμῆς ἕνεκεν τοὺς φίλους ὑπαισθάνοιεν ἄν.

ε'. Ὅσῳ γε μὴν πλείονες εἰσοικίζοιντό τε, καὶ ἀφικνοῖντο, δῆλον ὅτι τοσούτῳ ἂν πλεῖον καὶ εἰσάγοιτο, καὶ ἐξάγοιτο, καὶ ἐκπέμποιτο, καὶ πωλοῖτο, καὶ μισθοφορεῖτο, καὶ τελεσφορεῖν.

ς'. Εἰς μὲν οὖν τὰς τοιαύτας αὐξήσεις τῶν πόρων οὐδὲν πως δαπανῆσαι δεῖ οὐδέν, ἀλλὰ ψηφίσματά τε φιλάνθρωπα καὶ ἐπιμελείας. ὅσας δ' ἂν ἄλλας δοκῶσί μοι πόροι γίγνεσθαι, γιγνώσκω ὅτι ἀφορμῆς δεήσει εἰς αὐτάς.

ζ'. Οὐ μέντοι δύσελπίς εἰμι, τὸ μὴ οὐχὶ προθύμως ἂν τοὺς πολίτας εἰς τὰ τοιαῦτα εἰσφέρειν, ἐνθυμούμενος ὡς πολλὰ μὲν εἰσήνεγκεν ἡ πόλις, ὅτε Ἀρκάσιν ἐβοήθει ὑπὲρ Λυσιστράτου ἡγουμένου, πολλὰ δὲ ὑπὲρ Ἡγησίλεω.

η'. Ἐπίσταμαι δὲ καὶ τριήρεις πολλάκις ἐκπεμπομένας οὐ πολλῇ δαπάνῃ, καὶ ταύτας γενομένας, τοῦτο μὲν ἄδηλον ὅπως, εἴτε βέλτιον εἴτε χεῖρον ἔσαι· ἐκεῖνο δὲ δῆλον, ὅτι οὐδὲ-

tari, qui navibus ac mercibus egregiis civitati prodesse viderentur. Hoc enim honore adfecti, non tam quæstus quam honoris causſa redire ad amicos properarent.

5. Enimvero quo plures in urbem admitterentur, Athenaſque venirent, eo plus mercium importaretur, exportaretur, emitteretur, venderetur, tributi acciperetur.

6. Nec ad hæc proventuum incrementa ſumtus ulli requirerentur, præter decreta humanitatis plena, & ipſam diligentiam. Quotquot autem proventus alios nobis accedere poſſe puto, ad eos impenſis opus fore animadverto.

7. Neque tamen deſpero, quin cives perlubenter ad has collaturi ſint, quum mecum cogito, civitatem hanc multa contuliſſe, quum Lyſiſtrato duce opem Arcadibus ferret: multa item, duce Hegeſilao.

8. Scio item, ſæpenumero triremes magno ſumtu emiſſas eſſe, quum quidem illis effectis eſſet obſcurum, utrum id profuturum potius quam obfuturum eſſet: minime autem dubitaretur, nunquam

οὐδέποτε ἀπολήψονται ἃ ἂν εἰσενέγκωσιν, οὐδὲ μεθέξουσιν ὧν ἂν εἰσενέγκωσιν.

θ'. Κτῆσιν δὲ ἀπ' οὐδενὸς ἂν οὕτω καλλιὼ κτήσαιντο, ὥσπερ ἀφ' οὗ ἂν περιτελέσωσιν εἰς τὴν ἀφορμήν. ᾧ μὲν γὰρ ἂν δέκα μναῖ εἰσφορὰ γένηται, ὥσπερ ναυτικὸν χρέος ὀβολιαῖον αὐτῷ γίγνεται περιόβολον τῆς ἡμέρας λαμβάνοντι· ᾧ δέ γ' ἂν πέντε μναῖ, πλέον ἢ ὀβολιαῖον.

ι'. Οἱ δὲ γε πλέονες Ἀθηναίων πλείονα λήψονται κατ' ἐνιαυτόν, ἢ ὅσα ἂν εἰσενέγκωσιν. ⓐ γὰρ μνᾶν περιτελέσαντες, ἑξῆς δυοῖν μναῖν περίοδον ἕξουσι, καὶ ταῦτα ἐν πόλει ὃ δοκεῖ τῶν ἀνθρωπίνων ἀσφαλέστατόν τε καὶ πολυχρονιώτατον εἶναι.

ια'. Οἶμαι δὲ ἔγωγε, εἰ μέλλοιεν ἀναγραφήσεσθαι εὐεργέται εἰς ⓑ ἅπαντα χρόνον, καὶ ξένους ἂν πολλοὺς εἰσενεγκεῖν· ἔτι δὲ ἂς ἂν καὶ πόλεις, τῆς ἀναγραφῆς ὀρεγομένας. ἐλπίζω δὲ καὶ βασιλέας ἄν τινας, καὶ

quam recepturos quæ contulissent, nec participes futuros eorum quæ contribuissent.

9. Neque vero tam egregium aliunde lucrum paraverint, quam ex illis ipsis in quæ factæ prius impensæ fuerint. Etenim qui decem minas contribueret, is singulos in dies sesquiquintum velut triobolum nauticum reciperet: qui vero quinque minas, amplius sesquitertio.

10. Plurimi autem Athenienses quotannis plura recepturi essent, quam contribuerent. Nam qui minam prius expenderint, prope duarum minarum proventum habituri sunt, & eum quidem in urbe, quod humanis in rebus tutissimum esse, maximeque durabile videtur.

11. Atque arbitror equidem, si litteris mandaturi simus eorum nomina qui beneficium reipublicæ præstiturì sint, ad omnem posteritatem: etiam multos hospites contributuros, & quidem urbes quoque nonnullas id expetituras; ut monumentis litterarum inserantur. Quinetiam reges quos-

καὶ τυράννους, καὶ σατράπας ἐπιθυμῆσαι μεταχεῖν τούτου τοῦ χρείτου.

ιβ'. Ὁπόταν γε μὲν ἀφορμὴ ὑπάρχῃ, καλὸν μὲν καὶ ἀγαθὸν ναυκλήρους οἰκοδομεῖν καταγώγια περὶ λιμένας πρὸς τοῖς ὑπάρχουσι, καλὸν δὲ καὶ ἐμπόρους ἐπὶ πρόσοδον τόπους οἰκῆσαί τε καὶ πρᾶσαι, καὶ τοῖς εἰσαφικνουμένοις δὲ δημόσια καταγώγια.

ιγ'. Εἰ δὲ καὶ τοῖς ἀγοραίοις οἰκήσεις τε, καὶ πωλητήρια κατασκευασθείη, καὶ ἐν Πειραιεῖ, καὶ ἐν τῷ ἄστει, ἅμα τ' ἂν κόσμος ἐν τῇ πόλει, καὶ πολλαὶ ἂν ἀπὸ τούτων πρόσοδοι γίγνοιντο.

ιδ'. Ἀγαθὸν δέ μοι δοκεῖ εἶναι πειραθῆναι, εἰ καὶ ὥσπερ τριήρεις δημοσίας ἡ πόλις κέκτηται, οὕτω καὶ ὁλκάδας δημοσίας πλωτὸν ἂν γένοιτο κτήσασθαι, καὶ ταύτας ἐκμισθοῦν ἐπ' ἐγγυητῶν, ὥσπερ καὶ τἆλλα δημόσια. εἰ γὰρ καὶ τοῦτο οἷόν τε ἂν φανείη, πολλὴ ἂν καὶ ἀπὸ τούτων πρόσοδος γίγνοιτο.

ΚΕΦ.

dam, & tyrannos, & ſatrapas fore ſpero, qui deſideraturi ſint, ut hujus beneficii participes fiant.

12. Cæterum ubi jam ſubſidium comparatum erit, bonum atque utile fuerit, naucleris diverſoria quædam, præter illa quæ jam facta ſunt, exſtrui propter ipſos portus: bonum item mercatoribus, ad loca emtioni ac venditioni opportuna: denique publica diverſoria venientibus [Athenas] adſignari.

13. Quod ſi etiam nundinatoribus habitationes & tabernæ vendendis mercibus idoneæ tum in Piræo tum in urbe parentur; ſimul id & civitati ornamento foret, & multi proventus inde perciperentur.

14. Videtur etiam mihi conducere, ut periculum fiat, num quemadmodum triremes publicas habet civitas, ita & onerarias naves publicas parare poſſit, ut eas acceptis fidejuſſoribus locet, velut alia quoque publica. Nam ſi hoc fieri poſſe videretur, magnus etiam hinc proventus accederet.

CAP.

ΚΕΦ. δ'.

ΤΑ γε μὴν ἀργυρεῖα εἰ καταστρωθείη ὡς δεῖ, πάμπολλα ἂν νομίζω χρήματα ἐξ αὐτῶν καὶ ἄνευ τῶν ἄλλων πορισθῆναι. βούλομαι δὲ ἐγὼ τοῖς μὴ εἰδόσι τὴν τούτων δύναμιν δηλῶσαι. ταύτην δ' γνόντες, καὶ ὅπως χρῆσθαι δεῖ αὐτοῖς, ἄμεινον ἂν βουλεύοισθε.

β'. Οὐκοῦν ὅτι μὲν παλαιὰ ἐστὶ τὰ ἔργα, πᾶσι σαφές. οὐδεὶς γοῦν οὐδὲ πειρᾶται λέγειν, ἀπὸ ποίου χρόνου ἐπεχειρήθη. ὅτου δὲ πάλαι ὀρυσσομένης τε καὶ ἐκφορουμένης τῆς ἀργυρείτιδος, καταμάθοιτε τί μέρος ἂν ἐκβεβλημένοι σωροὶ τῶν αὐτοφυῶν τε καὶ ὑπαργύρων λόφων.

γ'. Οὐδὲ μὴν ὁ ἀργυρώδης τόπος εἰς μεῖόν τι συστέλλόμενος, ἀλλ' ἀεὶ ὅτι πλεῖον ἐκτεινόμενος φανερός ἐστιν. ἐν ᾧ γε μὴν χρόνῳ οἱ πλεῖστοι ἄνθρωποι ἐγένοντο ἐν αὐτοῖς, οὐδεὶς πώποτε ἔργου ἀπόρησεν, ἀλλ'

CAP. IV.

PRæterea si argenti fodinæ instruerentur, ita ut debebant, existimarem ex iis insignem pecuniæ vim præter fructus cæteros proventuram. Lubet autem ignaris, quæ potissimum vis atque commoditas earum sit, exponere; qua cognita, rectius etiam iniri à vobis ratio poterit, quo pacto sit eis utendum.

2. Ignotum autem nemini est, & veteres illas esse, & operas in eis fieri: ac ne conatur quidem indicare quisquam à quo tempore cœptæ sint. Quum autem hoc modo jam ab antiquo argentifera terra fodiatur, & egeratur; velim consideretis, quantula pars sunt ejecti hactenus acervi collium sponte nascentium, quique subargentei sunt.

3. Neque locum illum argento abundantem diminui constat, sed amplius semper extendi. Quo etiam tempore maxima hominum in eis copia fuit, nemini unquam defuit quod ageret: sed

ἀλλ' ἀεὶ τὰ ἔργα τῶν ἐργαζομένων θεῖῶ.

δ'. Καὶ νῦν δὲ οἱ κεκτημένοι ἐν τοῖς μετάλλοις ἀνδράποδα, ὑδεὶς ἔτι πλήθυς ἀφαιρεῖ, ἀλλ' ἀεὶ πλείστα, ὁπόσα ἂν πλέξαι δύνηται. καὶ γὰρ ὅταν μὲ ὀλίγοι ὀρύττωσι καὶ ζητῶσιν, ὀλίγα (οἶμαι) καὶ τὰ χρήματα εὑρίσκει. ὅταν δὲ πολλοὶ, πολλαπλασία ἡ ἀργυρίτις ἀναφαίνεται. ὥστε ἐν μόνῳ τούτῳ ᾧ ἐγὼ οἶδα ἔργων οὐδὲ φθονεῖ οὐδεὶς τοῖς ἐπισκευαζομένοις.

ε'. Ἐπὶ δὲ οἱ μὲ ἀγρῶν κεκτημένοι πάντες ἔχοιεν ἂν εἰπεῖν, ὁπόσα ζεύγη ἀρκεῖ εἰς τὸ χωρίον, καὶ ὁπόσοι ἐργάται· ἢν δ' ὅτι πλεῖον τῶν ἱκανῶν ἐμβάλλῃ τις, ζημίαν λογίζονται. ἐν δὲ τοῖς ἀργυρείοις ἔργοις πάντας δύναται ἐνδεῖσθαι ἐργατῶν.

ς'. Καὶ γὰρ οὐδὲ ὥσπερ ὅταν πολλοὶ χαλκοτύποι γένωνται, ἀξίων γενομένων τῶν χαλκευτικῶν ἔργων, καταλύονται οἱ χαλκοτύποι, καὶ οἱ σιδηρεῖς γε ὡσαύτως· καὶ ὅταν γε πολὺς σῖτος καὶ οἶνος γένηται, ἀξίων

semper ea quæ agenda erant, operarum numerum superabant.

4. Et nunc quoque illorum qui in metallis habent mancipia, nemo diminuere numerum cupit: sed plura potius, quantum potest, adquirit. Etenim quum pauci fodiunt & quærunt, etiam paucæ (ut equidem arbitror) opes reperiuntur: sin multi, multis partibus copiosior argenti materies prodit. Quo fit, ut hoc solo in opere, quod quidem sciam, nemo fabricas novas instituentibus invideat.

5. Præterea qui agros possident, norunt omnes dicere, quot jumentorum juga, quot operarii ad fundum colendum satis sint: ac si plures, quam sufficiant, adhibeantur, hoc ipsum in damno ponunt. At in his eruendi argenti operibus omnes operariis egere dicunt.

6. Nec enim hoc idem accidit, quod in artificum æratiorum copia, ubi quum facta ex ære opera vili venduntur, everti fortunæ horum solent, & ferrariorum similiter: itemque ubi magna frumenti vinique copia provenit, fructibus

ἀξίων ὄντων τ καρπῶν, ἀλυσιτελεῖς αἱ γεωργίαι γίγνονται· ὥστε πολλοὶ ἀφιέμενοι γ τ γῆ ἐργάζεσθαι, ἐπ' ἐμπορείας ϗ καπηλείας καὶ τοκισμοὺς τρέπονται.

ζ'. Ἀργυρίτις δὲ ὅσῳ ἂν πλείων φαίνηται, ϗ ἀργύριον πλεῖον γίγνηται, τοσούτῳ πλείονες ὑπὸ τὸ ἔργον τοῦτο ἔρχονται. καὶ γὰρ δὴ ἔπιπλα μὲ ἐπειδὴν ἱκανά πως κτήσωνται τῇ οἰκίᾳ, ϗ μάλα ἔπ τρυφωνοῦσιν· ἀργύριον δὲ οὐδεὶς πω ὕτω πολὺ ἐκτήσατο, ὥστε μὴ ἔπ προσλαβεῖν. ἀλλ' ἢν πού γέ τινα πλουτῆς, τὸ περιττεῦον κατορύττοντες, οὐδὲν ἧττον ἥδονται ἢ χρώμενοι αὐτῷ.

η'. Καὶ μὴν ὅταν γε εὖ πράττωσιν αἱ πόλεις, ἰσχυρῶς (ἄνθρωποι ἀργυρίου δέον) οἱ μὲ γὰ ἄνδρες ἀμφὶ ὅπλά τε καλὰ, ϗ ἵππους ἀγαθούς τε, ϗ οἰκίας, ϗ καταστρωμὰς μεγαλοπρεπεῖς βύλον) δαπανᾶν· αἱ δὲ γυναῖκες εἰς ἐσθῆτα πολυτελῆ, ϗ χρυσοῦν κόσμον τρέπον).

θ'. Ὅταν τε αὖ νοσήσωσι πόλεις ἢ ἀφορίας καρπῶν ἢ πολέμῳ, ἔπ καὶ πολὺ μᾶλλον ἀργὸν τῆς γῆς γιγνο-

fructibus vili væneuntibus, agrorum culturæ ſunt inutiles; adeo quidem, ut multi relicta ſoli cultione ad mercaturam, ad cauponariam, ad uſuras ſe convertant.

7. Nimirum argenti materies quanto copioſior extiterit, & argenti plus fuerit, tanto plures ad illud opus ſe conferre ſolent. Etenim ſupellectili familiæ neceſſaria comparata, non multum ulterius coëmi ſolet: at argenti nemo adhuc tam multum habuit, ut nihil amplius requireret: ſed ſi qui permultum nacti fuerint, quod redundat, defodiunt: quo quidem non minus delectantur, quam ſi eo uterentur.

8. Quinetiam quum civitates ſecunda utuntur fortuna, tum civibus maxime argento eſt opus. Viri enim in arma elegantia, & generoſos equos, in ædes & ſtructuras magnificas pecuniam impendere volunt: mulieres vero ad cultum ſumtuoſum, & mundum aureum animos adjiciunt.

9. Rurſus quum civitates caritate annonæ laborant, aut bello, quia terra nullo cultu adhibito otioſa

γιγνομένης, καὶ εἰς ὑποτίθεια καὶ εἰς ὑποκύρης νομίσματος δέονται.

ι'. Εἰ δέ τις φήσει καὶ χρυσίον μηδὲν ἧττον χρήσιμον εἶναι ἢ ἀργύριον, τοῦτο μὲν οὐκ ἀντιλέγω· ἐκεῖνο μέντοι οἶδα, ὅτι καὶ χρυσίον ὅταν πολὺ φαίνηται, αὐτὸ μὲν ἀτιμότερον γίγνεται, τὸ δὲ ἀργύριον τιμιώτερον ποιεῖ.

ια'. Ταῦτα μὲν οὖν ἐδήλωσα τούτου ἕνεκα, ὅπως θαρσοῦντες μὲν ὁπλείτοις ἀνθρώπους ὑπὸ τὰ ἀργυρεῖα ἄξωμεν, θαρσοῦντες δὲ κατασκευάζωμεθα ἐν αὐτοῖς, ὡς οὔτε ὑπολειψόμενοι ποτὲ ἀργυρίτιδος, οὔτε τοῦ ἀργυρίου ἀτιμοῦ ποτὲ ἐσομένου,

ιβ'. Δοκεῖ δέ μοι καὶ ἡ πόλις πρότερον ἐμοῦ ταῦτα ἐγνωκέναι. πρέπει γοῦν ὑπὲρ ἰσοτελείας καὶ τῶν ξένων τῷ βουλομένῳ ἐργάζεσθαι ἐν τοῖς μετάλλοις.

ιγ'. Ἵνα δὲ καὶ σαφέστερον περὶ τῆς πρόσοδου εἴπω, νῦν διηγήσομαι ὡς κατασκευασθέντα τὰ ἀργυρεῖα ὠφελιμώτατ' ἂν εἴη τῇ πόλει. ἀπ' αὐτῶν μὲν οὖν ἔγωγε, ἀφ' ὧν μέλλω λέγειν, οὐδὲν πω ἀξιῶ θαυμάζεσθαι,

otiosa est, tum ad commeatum tum ad auxiliares copias nummos requirunt.

10. Quod si quis dixerit, aurum nihilo esse minus utile quam argentum; huic non repugnabo. Illud tamen scio, quod etiam aurum, si magna ejus esse copia videatur, minoris esse soleat æstimationis, & argentum reddat pretiosius.

11. Atque hæc à me idcirco explicata sunt, ut fidenter quamplurimos homines in argenti fodinas mittamus, atque illic substruamus haud dubitanter; quum neque argentifera terra defectura, neque futurum sit, ut argentum ullo unquam tempore vilescat.

12. Videtur autem mihi civitas ipsa hæc ante me perspexisse. Nam peregrinis etiam, si qui velint, excolendi metalla, potestatem facit æquali pensione.

13. Ut autem etiam apertius de adquirendo victu loquar, nunc exponam, qua ratione instauratæ argenti fodinæ civitati possint esse utilissimæ. Nec ex iis, quæ dicturus sum, ullam quæro mei admirationem,

ζεσθαι, ὡς δυσεύρετόν τι ἐξηρημένον. τὰ μὲν γὰρ ἐρῶν λέξω, καὶ νῦν ἔτι πάντες ὁρῶμεν, τὰ δὲ προκείμενα τῇ παραγραφῇ κατὰ ταῦτα ἂν ἀκούοιμεν.

ιδ'. Τῆς μέντοι πόλεως πάνυ ἄξιον θαυμάσαι, τὸ μὴ ἀθανασίᾳ πολλοὺς πλουτίζομένους ἐξ αὐτῆς ἰδιώτας, μὴ μιμεῖσθαι τούτους. πάλαι μὲν γὰρ λόγου οἷς μεμέληκεν, ἀκηκόαμεν, ὅτι Νικίας ποτὲ ὁ Νικηράτου ἐκτήσατο ἐν τοῖς ἀργυρείοις χιλίους ἀνθρώπους, οὓς ἐκείνῳ Σωσίᾳ τῷ Θρᾳκὶ ἐξεμίσθωσεν, ἐφ' ᾧ ὀβολὸν μὲν ἀτελῆ ἑκάστου τῆς ἡμέρας ἀποδιδόναι, τὸν δ' ἀριθμὸν ἴσως ἀεὶ παρέχειν.

ιε'. Ἐγένετο δὲ καὶ Ἱππονίκῳ ἑξακόσια ἀνδράποδα κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἐκδεδομένα, ἃ προσέφερε μνᾶν ἀτελῆ τῆς ἡμέρας· Φιλημονίδῃ δὲ τριακόσια ἡμιμνάῳον, ἄλλοις δέ γε, ὡς (οἶμαι) δυνάμεις ἑκάστοις ὑπῆρχεν.

ιϛ'. Ἀτὰρ τί τὰ παλαιὰ δεῖ λέγειν; καὶ γὰρ νῦν πολλοί εἰσιν ἐν τοῖς ἀργυρείοις ἄνθρωποι οὕτως ἐκδεδομένοι.

ιζ'. Περαι-

rationem, quasi aliquid difficile repertu invenerim. Nam quæ dicturus sum, partim etiam nunc omnes cernimus, partim vero eadem ratione se habere præterita, licet audiendo cognoscere.

14. Illud admodum admiratione dignum est, quod quum sentiat civitas multos privatos ex se locupletatos esse, tales non imitetur. Jampridem enim de iis quibus ea res curæ fuit, audivimus; Niciam, Nicerati filium, in argenti fodinis mille homines habuisse, quos Sosiæ Thraci locarit, qui ultra impensas obolum pro singulis quotidie persolveret, numerumque semper parem exhiberet.

15. Fuerunt & Hipponico sexcenta mancipia, eodem isto modo elocata, quæ quotidie minam ferebant ultra impensas: & Philemonidi mancipia trecenta minæ semissem; aliis, ut cuique facultates suppetebant.

16. Sed quid necesse est vetera commemorare? quum & hoc tempore multi sint homines in argenti fodinis ista ratione locati.

17. Et

ιζ'. Περαινομένων γε μὴν ὧν λέγω, τοῦτ' ἂν μόνον καινὸν γένοιτ', εἰ ὥσπερ ἰδιῶται κτησάμενοι ἀνδράποδα, πρόσοδον ἀέννασον κατεσκευασμένοι εἰσίν, οὕτω καὶ ἡ πόλις κτῷτο δημοσίᾳ ἀνδράποδα, ἕως γίγνοιτο τρία ἑκάστῳ Ἀθηναίων.

ιη'. Εἰ δὲ δυνατὰ λέγομεν, καθ' ἓν ἕκαστον αὐτῶν σκοπῶν ὁ βουλόμενος κρινέτω. ὁρῶ μὲν γὰρ ἀνθρώπων εὔδηλον ὅτι μᾶλλον ἂν τὸ δημόσιον δύναιτο, ἢ οἱ ἰδιῶται πορίσασθαι. τῇ γε μὴν βουλῇ ῥᾴδιον καὶ χειρίσαι, ἄγειν τὰ βουλόμενον ἀνδράποδα, καὶ τὰ πραχθέντα πέσθαι.

ιθ'. Ἐπειδὰν δὲ ὠνηθῇ, τί ἂν ἧττον μισθοῖτό τις παρὰ τοῦ δημοσίου, ἢ παρὰ τοῦ ἰδιώτου, ὅτῳ τοῖς αὐτοῖς μέλλων ἔξειν; μισθοῦται γοῦν καὶ τεμένη, καὶ ἱερά, καὶ οἰκίας, καὶ τέλη ὠνοῦνται παρὰ τῆς πόλεως.

κ'. Ὅπως γε μὴν τὰ ὠνηθέντα σώζηται, τῷ δήμοσίῳ ὅτι λαμβάνειν ἐγγύας παρὰ τῶν μισθουμένων, ὥσπερ καὶ

17. Et hæc quidem, quæ à me dicuntur, si peragantur; illud tantum novi fit, ut quemadmodum privati comparatis mancipiis proventum sibi perennem adquisiverunt; ita coëmat & ipsa civitas mancipia publica, donec unicuique Athenienſium tria contigerint.

18. An hæc autem, quæ dicimus, fieri possint: secum de singulis cogitans qui volet, judicet. Hoc quidem plane perspicuum est, posse fiscum facilius quam privatos, pretium mancipiorum cogere. Senatui quidem certe facile est, per præconem edicere, ut qui volet, adducat sua mancipia; atque ita quæ oblata fuerint, pretio redimere.

19. Posteaquam autem coëmta fuerint, cur aliquis minus velit à republica conducere, quam à privato, quum iisdem conditionibus obtenturus sit? Conducunt enim à republica lucos, sacra, domos; & ab eadem vectigalia redimunt.

20. Ut autem redemtæ res salvæ sint, licet fisco fidejussores à conductoribus accipere, quemadmodum

καὶ τοῖς τὰ ὠνημένων τὰ τέλη. Ἀλλὰ μὴν ἢ ἀδικῆσαί γε ῥᾷον τὸν τέλῶν τελειαμένῳ, ἢ τὸν ἀνδράποδα μισθωμένῳ.

κά. Ἀργύριον μὲν γὰρ πῶς ἂν φωραθείη ἄν τις τὸ δημόσιον ἐξαγόμενον, ὁμοίου ὄντος αὐτοῦ; ἀνδράποδα δὲ σεσημασμένα τοῦ δημοσίου σημάντρου ἢ προσκειμένης ζημίας τοῦ τε πωλοῦντι καὶ τοῦ ἐξάγοντι, πῶς ἄν τις ταῦτα κλέψειεν; ἱκανῶς μέχρι μὲν τούτου δυνατὸν ἐφάνη τῇ πόλει εἶναι, τὸ ἀνθρώπους ἢ κτήσασθαι ἢ φυλάξαι.

κβ. Εἰ δ' αὖ τις τοῦτ' ἐνθυμεῖται, ὡς ἐπειδὰν πολλοὶ ἐργάται γένωνται, πολλοὶ φανοῦνται καὶ ὁ μισθοδόμενοι, ἐκεῖνο κατανοήσας θαῤῥείτω, ὅτι πολλοὶ μὲν τῶν κατεσκευασμένων προσμισθώσονται τοὺς δημοσίους (πολλὰ γὰρ ἔστι τὰ ὑπάρχοντα,) πολλοὶ δ' εἰσὶ καὶ αὐτῶν τῶν ἐν τοῖς ἔργοις γηράσκοντων, πολλοὶ δὲ ἄλλοι Ἀθηναῖοί τε καὶ ξένοι, οἱ τῷ σώματι μὲν οὔτε βούλοιντ' ἂν, οὔτε δύναιντ' ἂν ἐργάζεσθαι, τῇ δὲ γνώμῃ ἐπιμελούμενοι ἡδέως ἂν τὰ ἐπιτήδεια ποιοῖντο.

κγ'. Ην

modum etiam ab iis qui vectigalia redimunt. Immo vero facilius est emtori vectigalis fraudare, quam conductori mancipiorum.

21. Nam quo pacto deprehendere quis possit, argentum publicum averti, quum sit huic simile privatum? Mancipia vero signo publico notata, si poena constituta sit & vendenti & exportanti, quomodo subduci furto possint? Atque hactenus civitatem & comparare hujusmodi homines, & conservare posse patuit.

22. Si quis rursus cogitet, existentibus multis operariis, extituros etiam multos, qui mancipia locare velint; illud animadvertat & confidat fore ut multi jam à mancipiis instructi, alios insuper homines publicos conducant (nam magnæ sunt opum facultates,) & in ipsis operibus multi senescunt, & multi quoque alii tum Athenienses, tum peregrini, corpore quidem illi nec velint nec possint opus facere; sed animi tamen adhibita cura, libenter necessaria sibi adquisiverint.

κγ'. Ην γε μέντοι τὸ πρῶτον συχὶ διακόσια ἢ χίλια ἀνδράποδα, εἰκὸς ἤδη ἀπ' αὐτῆς τὰ πρόσοδα ἐν ἔτεσι πέντε ἢ ἐξ μὴ μεῖον αὐτῇ ἑξακισχιλίων γενέσθαι· ἀπό γε μὲν τούτου τοῦ ἀριθμοῦ, ἵν' ὀβολὸν ἕκαστος ἀτελῆ τὰ ἡμέρας φέρῃ, ἡ μὲν πρόσοδος ἑξήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ.

κδ'. Ἀπὸ δὲ τούτων ἵν' εἰς ἄλλα ἀνδράποδα τίθεται εἴκοσι, τοῖς παραφέρουσα ἤδη ἐξέσται τῇ πόλει χρῆσθαι εἰς ἄλλ' ὅ, τι ἂν δέῃ· ὅταν δέ γε μύρια ἀναπλήρωσῃ, ἑκατὸν τάλαντα ἡ πρόσοδος ἔσται.

κε'. Ὅτι δὲ δέξεται πολλαπλάσια τούτων, μαρτυρήσαιεν ἄν μοι εἰπόντες ἔτι εἰσὶ τῶν μεμνημένων, ὅσον τὸ τέλος εἴσεισε τῶν ἀνδραπόδων πρὸ τῆς ἐν Δεκελείᾳ. μαρτυρᾷ δὲ καὶ ἐκεῖνο, ὅτι εἰργασμένων ἀνθρώπων ἐν τοῖς ἀργυρείοις ἐν τῷ παντὶ χρόνῳ ἀναριθμήτων, νῦν οὐδὲν διαφέρει τὰ ἀργύρια, ἢ ἃ οἱ πρόγονοι ἡμῶν ὄντα ἐμνημόνευον αὐτά.

κς'. Καὶ

23. Itaque si primum cogantur mille ducenta mancipia, conjici potest, intrá quinque annos, aut sex, de hoc ipso proventu civitatem non pauciora sex millibus habituram. Jam ex hoc numero, si obolum unusquisque diebus singulis immunem adferat, sexaginta talentorum proventus annuus erit.

24. Ex iis autem si viginti talenta in alia mancipia impendantur, reliqua quadraginta, prout res postulabit, in alium aliquem usum conferre civitati licebit. Quumque numerus ad decem millia excreverit, jam centum talentorum proventus existet.

25. Verum longe plus accepturam rempublicam, testes mihi esse possunt, si qui sunt adhuc, qui meminere, quantum vectigal ex mancipiis civitas ante res ad Deceleam gestas perceperit. Illud quoque testimonio est, quod quum innumerabiles omni tempore in argentifodinis opus fecerint, nihil hæ tamen ab illis hoc tempore differant, quarum mentionem majores nostri fecerunt.

26. Et

κς'. Καὶ τὰ νῦν δὲ γιγνόμενα πάντα μαρτυρᾷ, ὅτι οὐκ ἂν ποτε πλείω ἀνδράποδα ἐκεῖ γένοιτο, ἢ ὅσων ἂν τὰ ἔργα λείται. οὔτε γὰρ βάθους πέρας, οὔτε ὑπόνομον οἱ ὀρύσσοντες εὑρίσκουσι.

κζ'. Καὶ μὴν καινοτομεῖν γε οὐδὲν ἧττον ἔξεστι νῦν, ἢ πρότερον. οὐ τοίνυν ῥᾴδιον εἰπεῖν ἂν ἔχοι εὐδὼς οὐδείς, πότερον ἐν τοῖς κατατετμημένοις πλείων ἀργυρῖτις, ἢ ἐν τοῖς ἀτμήτοις ὄρεσί.

κη'. Τί δῆτα, φαίη ἄν τις, οὐ καὶ νῦν, ὥσπερ ἔμπροσθεν, πολλοὶ καινοτομοῦσιν; ὅτι πενέστεροι μέν εἰσιν οἱ τότε τὰ μέταλλα. νεωστὶ καὶ πάλιν κατασκευάζονται.

κθ'. Κίνδυνος δὲ μέγας τῷ καινοτομοῦντι. ὁ μὲν γὰρ εὑρὼν ἀγαθὴν ἐργασίαν, πλούσιος γίγνεται· ὁ δὲ μὴ εὑρών, πάντα ἀπόλλυσιν, ὅσα ἂν δαπανήσῃ. εἰς τοῦτον οὖν τὸν κίνδυνον οὐ πάνυ πως ἐθέλουσιν οἱ νῦν ἰέναι.

λ'. Ἐγὼ μέντοι ἔχειν μοι δοκῶ καὶ περὶ τούτου συμβου-

26. Et ea quidem, quæ nunc fiunt, omnia teſtantur; nunquam plura mancipia illic eſſe poſſe, quam ipſa requirant opera. Nec enim illi, qui fodiunt, vel profunditatis vel cuniculorum finem inveniunt.

27. Atqui licet hoc tempore nihilo minus novum opus facere quam prius. Neque quiſquam certo ſe ſcire poſſit dicere, num in locis hactenus exciſis plus argenteæ materiei ſit, an necdum apertis.

28. Cur igitur, dicat aliquis, non nunc etiam, ſicut antea, multi novum opus faciunt? Quia pauperiores ſunt, qui res metallicas faciunt, non ita pridem inſtaurari cœptas.

29. Operis etiam novi adgreſſio periculoſa eſt. Nam qui fructuoſum opus excolendum invenit, copioſus & dives efficitur: qui vero non invenit, ei ſumptus impenſi pereunt. Itaque periculum illud non admodum adire hujus ætatis homines volunt.

30. Mihi tamen habere videor quod dem conſilium in hoc quo-

συμβαλεῖσθαι, ὡς ἂν ἀσφαλέστατα καινοτομοῖτο. εἰσὶ μὲν δὴ τῶν Ἀθηναίων δέκα φυλαί· εἰ δὲ ἡ πόλις δοίη ἑκάστῃ αὐτῶν ἴσα ἀνδράποδα, αἱ δὲ κοινωσάμεναι τὴν τύχην καινοτομοῖεν, ὅτως ἂν, εἰ μία εὕρει, πάσας ἂν λυσιτελὲς ἀποδείξειεν.

λα'. Εἰ δὲ δύο, ἢ τρεῖς, ἢ τέτταρες, ἢ αἱ ἡμίσειαι εὕρειεν, δῆλον ὅτι λυσιτελέστερα ἂν τὰ ἔργα ταῦτα γίγνοιτο. τὸ γε μὴν πάσας ἀποτυχεῖν, οὐδενὶ τῶν πρόσθεν ἐοικός.

λβ'. Οἱόντε δὲ ὅτως ἰδιώτας συνισαμένους καὶ κοινωσαμένους τὴν τύχην ἀσφαλέστερον κινδυνεύειν. μηδὲν μέντοι τοῦτο φοβεῖσθαι, ὡς ἢ τὸ δημόσιον ὅτω καταστασιάζόμενον ἀβελτερήσει τοὺς ἰδιώτας, ἢ οἱ ἰδιῶται τὸ δημόσιον· ἀλλ' ὥσπερ σύμμαχοι ὅσῳ ἂν πλείους συνιῶσιν ἰσχυροτέρους ἀλλήλους ποιοῦσιν, ὅτω καὶ οἱ τοῖς ἀργυρείοις ὅσῳ περ ἂν πλείους ἐργάζωνται, τόσῳ πλέον τἀγαθὰ εὑρήσουσί τε καὶ φορήσουσι.

λγ'. Καὶ ἐμοὶ μὲν δὴ εἴρηται, ὡς ἂν ἡγοῦμαι κατασκευασθείσης

que negotio, quomodo novum opus tutissime instituatur. Athenis enim decem sunt tribus, quarum cuique si civitas parem mancipiorum numerum concederet, ipsæ vero fortuna communi novum opus adgrederentur: ita fieret, ut inventum ab una quidpiam, universis utilitatem exhiberet.

31. Sin duæ, aut tres, aut quatuor, aut etiam dimidia pars tribuum inveniret, haud dubie majores ex ejusmodi operibus utilitates caperentur. Omnes enim spe sua frustrari, præteritorum exemplo caret.

32. Possent etiam privati eadem ratione se conjungendo & consociando, fortunam tutius periclitari. Neque vero metuendum est, ne vel fiscus ita constitutus privatos lædat, vel privati fiscum: sed ut armorum ac belli socii, quo plures conjuncti fuerint, hoc se mutuo firmiores reddunt, sic in argenti fodinis quo plures erunt, qui faciant opus, eo plus bonorum & reperient & reportabunt.

33. Expositum, qua ratione constituta republica, universis

Athe-

θείσης ἡ πόλεως ἱκανὰ ἂν πᾶσιν Ἀθηναίοις τροφὴ ἀπὸ κοινῆ γενέσθαι.

λδ'. Εἰ δέ τινες λογιζόμενοι παμπόλλης ἂν δεῖν ἀφορμῆς εἰς ταῦτα πάντα, οὐχ ἡγοῦνται ἱκανὰ ἄν ποτε χρήματα εἰσενεχθῆναι, μηδὲ ὕτως ἀθυμούντων.

λε'. Οὐ δὲ ὕτως ἔχει, ὡς ἀνάγκη ἅμα πάντα ταῦτα γίγνεσθαι, ἢ μηδὲν ὄφελος αὐτῶν εἶναι. Ἀλλ' ὁπόσα ἂν ἡ οἰκοδομηθῇ, ἢ ναυπηγηθῇ, ἢ ἀνδράποδα ὠνηθῇ, εὐθὺς ταῦτα καὶ ὠφελεία ἔσται.

λϛ'. Ἀλλὰ μὴν καὶ τῇ γε συμφορώτερον τὸ κατὰ μέρος, ἢ τὸ ἅμα πάντα πεφάσθαι. οἰκοδομοῦντές τε δὲ ἀβελτεροι, πολυτελέστερον ἂν καὶ κάλλιον, ἢ κατὰ μέρος ἐπιτελοῖμεν. ἀνδράποδα δὲ παμπληθῆ ζητοῦντες ἀναγκαζοίμεθα ἂν καὶ χείρω καὶ πριώτερα ὠνεῖσθαι.

λζ'. Κατά γε μὴν τὸ δυνατὸν περαίνοντες, τὰ μὲν καλῶς γνωσθέντα καὶ αὖθις ἂν μιμείμεθα.

εἰ

Athenienſibus de publico ad victum neceſſaria ſuppeditari poſſe arbitrer.

34. Quod ſi qui exiſtiment, ad hæc conficienda permagnis impenſis opus eſſe, nec unquam ſatis magnam pecuniam conferri poſſe; ne ſic quidem animum deſpondere debent.

35. Non enim ita comparata res eſt, ut aut ſimul omnia fieri, aut ex eis utilitatem nullam capi neceſſe ſit; ſed ubi quæque primum ædificata fuerint, vel domus, vel naves, vel emta fuerint mancipia, ſtatim hæc utilitatem adlatura ſunt.

36. Quinetiam vel ob hanc cauſſam utilius erit hæc particulatim, quam ſimul omnia fieri. Nam ſi ſubito ædificemus multi, majori cum ſumtu, & pejus abſolvemus, quam ſi res particulatim fiat. Mancipiorum autem permagnum quærentes numerum, & deteriora, & carius emere cogemur.

37. Sin vero pro ratione facultatum rem conficiemus, quæ erunt recte inſtituta, rurſus imitari licebit:

εἰ δέ τι ἁμαρτηθείη, ἀπεχόμεθα ἂν αὐτοῦ.

λη'. Ἐπὶ δὲ, πάντων ἅμα γιγνομένων, ἡμᾶς ἂν ἅπαντα δέοι ἐμπορίζεσθαι. εἰ δὲ τὰ μὲν φθάνοιτο, τὰ δὲ μέλλοι, ἡ ὑπάρξασα πρόσοδος τὸ ἐπιτήδειον συγκατασκευάζοι ἄν.

λθ'. Ὁ δὲ ἴσως φοβερώτατον δοκεῖ πᾶσιν εἶναι, μὴ, εἰ ἄγαν πολλὰ κτήσαιτο ἡ πόλις ἀνδράποδα, ὑφ' ἑαυτῆς ἂν τὰ ἔργα, καὶ τούτου δὲ φόβου ἀπηλλαγμένοι εἶμεν, εἰ μὴ πλείονας ἀνθρώπους, ἢ ὅσοις αὐτὰ τὰ ἔργα προσήκοντα, κατ' ἐνιαυτὸν ἐμβάλοιμεν.

μ'. Οὕτως ἔμοιγε δοκεῖ ἥπερ ῥᾷστον, ταύτῃ καὶ ἄριστον εἶναι ταῦτα πράττειν. εἰ δ' αὖ ἀφὸ τῆς ἐν τῷ νῦν πολέμῳ γεγεννημένης εἰσφορᾶς νομίζετ' ἂν μηδ' ὁπωσοῦν δυνατὸν εἰσενεγκεῖν, ὑμεῖς δὲ, ὅσα μὲ προ τῆς εἰρήνης χρήματα εὕρισκε τὰ τέλη, ἀπὸ τοσούτων καὶ τὸ ὄπιον ἔτος διοικεῖτε τὴν πόλιν· ὅσα δ' ἂν ἐφευρίσκῃ ἀφὸ τῆς εἰρήνης τε εἶναι καὶ ἀφὸ τοῦ θεραπεύεσθαι μετοίκοις καὶ ἐμπόροις, καὶ ἀφὸ τῶν πλειόνων συναγειρομένων

bit: ſin autem in aliquo peccatum fuerit, ab eo abſtinebimus.

38. Præterea ſi omnia ſimul fierent, paranda quoque nobis eſſet omnium copia. Sin alia perficiantur, alia differantur; adquiſitus jam ante proventus neceſſaria ſuppeditabit.

39. Illud fortaſſe videri poſſit ſummopere metuendum, ne, ſi civitas valde multa mancipia compararit, etiam opera nimis magna copia onerentur. Verum hoc quoque metu liberati erimus, ſi non plures, quam ipſa requirunt opera, ſingulis annis immittemus.

40. Ita mihi quidem videtur in his rebus eam ſequi rationem optiſſimum eſſe, quæ ſit facillima. Quod ſi rurſus exiſtimatis, ob tributa, hoc bello exacta, ne tantulum quidem poſſe contribui: ſane quantum ante factam pacem vectigalia reddebant, tantum in adminiſtratione reipublicæ anno proximo impendite: quæ vero amplius illa reddent, tum propterea quia pax eſt, tum quia inquilinorum & mercatorum ratio habebitur, ac pluribus huc confluentibus

μένων ἀνθρώπων πλείω εἰσάγεσθαι καὶ ἐξάγεσθαι, ἢ ἀφ' τὸ ἐν λιμῷ ἢ ταῖς ἀγοραῖς αὐξάνεσθαι, ταῦτα λαμβάνοντες κατασκοπεῖσθαι, ὡς ἂν πλῆθοι πρόσοδοι γίγνοιντο.

μά. Εἰ δέ τινες αὖ φοβοῖντο, μὴ ματαία ἂν γένοιτο αὕτη ἡ κατασκευή, εἰ πόλεμος ἐγερθείη, ἐννοησάτω ὅτι τούτων γιγνομένων πολὺ φοβερώτερος ὁ πόλεμος τοῖς ὑπαρχούσιν, ἢ τῇ πόλει.

μβ. Τί γὰρ δεῖ εἰς πόλεμον κτῆμα χρησιμώτερον ἀνθρώπων; πολλὰς μὲν γὰρ ναῦς πληρῶσαι ἱκανοὶ ἂν εἶεν δημόσια, πολλοὶ δ' ἂν καὶ πεζοὶ δημόσια λυμαίνοιντ' ἂν βαρεῖς εἰ τοῖς πολεμίοις, εἴπερ αὐτοὺς θεραπεύοι.

μγ. Λογίζομαι δ' ἔγωγε καὶ πολέμου γιγνομένου οἷόντ' εἰ μὴ ἐκλείπεσθαι τὰ ἀργυρεῖα. ἔστι μὲν γὰρ δήπου πρὸς τὰ μέταλλα ἐν τῇ πρὸς μεσημβρίαν θαλάττῃ τεῖχος ἐν ★ Ἀναφαύστῳ, ἔστι δ' ἐν τῇ πρὸς ἄρκτον τεῖχος ἐν Θορικῷ, ἀπέχει δὲ ταῦτα ἀπ' ἀλλήλων ἀμφὶ τὰ ἑξήκοντα στάδια.

μδ. Εἰ οὖν ἢ ἐν μέσῳ τούτων γένοιτο ὑπὸ τῷ ὑψηλοτάτῳ

tibus & importabuntur, & exportabuntur plurima, & ad portum mercatus erunt frequentiores; hæc inquam recipientes, ut quam maximi sint proventus, efficere debetis.

41. At si quis est, qui vereatur, ne si bellum ingruat, hoc sit inane institutum: is cogitare debebit, siquidem hæc efficiantur, bellum fore formidolosius iis ipsis, qui inferent, quam civitati nostræ.

42. Quid enim ad belli usum hominum multitudine utilius? Nimirum hi multis reipublicæ navibus explendis idonei fuerint, multi terra graves hostibus esse pro republica possint, modo quis eorum curam suscipiat.

43. Mea quoque fert ratio, belli etiam tempore fieri posse, ut argentifodinæ non deserantur; quum non procul à metallis ad mare, quod meridiem versus extenditur, una sit munitio in Anaphausto, altera vero in Thorico, versus mare aquilonale: quorum locorum alter ab altero stadiis circiter LX distat.

44. Si igitur inter hæc duo tertium

τούτῳ βήματος τεῖχος ἔρυμα, οἰκήσοιτ' ἂν τὰ ἔργα εἰς ἓν ἐξ ἁπάντων τοῦτ τειχῶν· καὶ εἴ τι αἰσθάνοιτο πολεμικὸν βοηθοῦ ἂν εἴη ἐκάτῳ εἰς τὸ ἀσφαλὲς ἀποχωρῆσαι.

με'. Εἰ δὲ καὶ ἔλθοιεν πλείους πολέμιοι, δηλονότι εἰ μὴ σῖτον ἢ οἶνον ἢ προβατα ἔξω εὕροιεν, ἀφέλοιντ' ἂν ταῦτα. ἀργυρείτιδος δὲ κρατήσαντες, τί ἂν μᾶλλον, ἢ λίθοις ἔχοιεν χρῆσθαι;

